σι τὰς διαφορὰς λαμβάνειν, οὐ τὰς συστατικὰς, ἐκεῖναι
γὰρ οὐκέτι ὡς γενῶν εἰσι διαφοραὶ, ἀλλ' ὡς εἰδῶν. δεῖ οὖν
τὰς διαιρετικὰς λαμβάνειν, αἵτινες γάρ εἰσι τῶν γενῶν. τού
των γὰρ τῶν πλέον ἐστὶ τὸ ζῷον, ἐπεὶ τῶν συμπληρωτικῶν
καὶ ἐπ' ἔλαττον ἐστί. καὶ τὸ συμβιβνικὸς ὁμοίως ἐπ' ἐλαττό
νων. Καὶ μὴν τὸ συμβιβνικὸς τῶν πλειόνων τοῦ γένους
παραλαμβάνεται. τὸ γὰρ μέλαν ἐστὶ τύχοι, οὐκ ὂν ζώων
μόνων, ἀλλὰ καὶ τῶν ἀψύχων. πῶς οὖν ἐπ' ἔλαττον; φα
μὲν ὅτι τὸ ὑπὸ τὸ αὐτὸ γένος, οἷον, τὸ συμβιβνικὸς τὸ ἐν
ζώοις, ἐπ' ἔλαττον τοῦ ζώου, τὸ γὰρ μέλαν, οὐ πᾶσι τοῖς
ζώοις ὑπάρχει, καὶ τὸ εὐφυτοῖς, ἐπ' ἔλαττον τοῦ φυ
τοῦ.

» Ἔτι τὸ γένος πρὸς ἐχεται τῶν διαφορῶν ὡς ὕλη, τοῦ γὰρ
» ζώου, τὸ μὲν λογικὸν, τὸ δὲ ἄλογον. αἱ δὲ διαφοραὶ, οὐ πε
» ριέχουσι τὸ γένος. Ἔτι πρὸς μὲν γένος, πρότερόν ἐστι
» αὐτῶν διαφορῶν. διὸ σωσαιρεθέντος μὲν αὐτοῦ, οὐ σωσαι
» ρεῖται δὲ ὑπ' αὐτῶν. ἀναιρεθέντος γὰρ τοῦ ζώου, σωσαι
» ρεῖται τὸ λογικὸν, καὶ τὸ ἄλογον. αἱ δὲ διαφοραὶ, οὐκέτι σω

κατηγορηθήσεται; εἰ γὰρ τοῦτο, καὶ ὁ ἄνθρωπος, καὶ ὁ σώφρων κατηγορηθήσεται· ὅπερ οὐκ ἔστι. καὶ ἐπειδὴ τὸ γένος διαιρεῖται, χρὴ καὶ ὁ ἄνθρωπος; Ρητέον τοίνυν, ὅτι διὰ τοῦτο καλῶς ὁ πορφύριος προσέθηκε τὸ, ὡς γένους, ἀντὶ τοῦ ὡς πράγματος· οὐ γὰρ ὡς σχέσιν ἔχοντος· τὸ γὰρ γένος, καὶ τὸ δίσυλλαβον, καὶ ὅσα τοιαῦτα, τῶν σχέσιν τοῦ ζώου δηλοῖ· ὅσα δὲ τοῦ ζώου ὡς ζώου κατηγορεῖται, τοῦτο γὰρ αὐτὸ δηλοῖ τὸ ὡς γένους, ταῦτα πάντως καὶ τῶν εἰδῶν καὶ τῶν ἀτόμων κατηγορεῖται· τὸ δὲ γένος τοῦ ζώου, οὐχ ὡς ζώου κατηγορεῖται, ἀλλὰ σχετικῶς· λέγεται γὰρ οὐ μόνον τὸ ζῶον γένος τοῦ ἀνθρώπου, καὶ τοῦ ἵππου, καὶ τῶν λοιπῶν, ἀλλὰ καὶ τὸ χρῶμα γένος λευκοῦ καὶ μέλανος, καὶ τῶν ἄλλων· ὁμοίως καὶ ἐπὶ τῆς ἄλλης κατηγορίας εὑρήσεις· ὥς τε τὸ γένος τοῦ ζώου, οὐχ ὡς ζώου κατηγορεῖται, ἀλλ' ὡς ποιὰν σχέσιν σημαντικοῦ πρὸς τὸ ὑφ' αὑτό· καὶ διὰ τοῦτο οὐ κατηγορηθήσεται κατὰ τῶν εἰδῶν καὶ τῶν ἀτόμων· ὁ αὐτὸς δὲ λόγος καὶ τῆς διαφορᾶς· ὅσα γὰρ τῆς διαφορᾶς ὡς διαφορᾶς, καὶ οὐ σχέσιν δηλοῦντα κατηγορεῖται, τοσαῦτα καὶ τῶν ὑπ' αὐτὴν εἰδῶν πάντων, καὶ ἀτόμων

Κοινὸν δὲ καὶ τὸ, ἀναιρεθέντος τοῦ γένους, ἢ τῆς διαφορᾶς, συναναιρεῖσθαι καὶ τὰ ὑπ' αὐτὰ, ὡς γὰρ μὴ ὄντος ζώου, οὐκ ἔστιν ἵππος, οὐδὲ ἄνθρωπος, οὕτω μὴ ὄντος λογικοῦ, οὐδὲ ἔστι ζῶον τὸ λόγῳ χρώμενον·

Δύο κανόνες εἰσὶ τῶν φύσει πρότερον, τὸ, τὸ συναναιρεῖν μὲν, μὴ συναναιρεῖσθαι δὲ, καὶ τὸ συνυπάρχειν μὲν, μὴ συνυπάρχεσθαι δέ· ταῦτα δὲ καὶ ἀμφοτέρων ἐστὶ κοινὰ, τοῦ γένους τε καὶ τῆς διαφορᾶς·

Ἴδιον δὲ τοῦ γένους τὸ ἐπὶ πλείονα κατηγορεῖσθαι, ἢ πρὸς διαφοράν, καὶ τὸ εἶδος, καὶ τὸ ἴδιον, καὶ τὸ συμβεβηκός· τὸ μὲν γὰρ ζῶον ἐπ' ἀνθρώπου καὶ ἵππου, καὶ ὄρνεου,

## ΠΑΡΑΒΟΛΗ ΓΕΝΟΥΣ ΚΑΙ ΔΙΑΦΟΡΑΣ.

„ Κοινὸν δὲ γένους καὶ διαφορᾶς, τὸ πολυεκτικὸν εἶναι τῶν
„ εἰδῶν, πολυέχει γὰρ καὶ ἡ διαφορὰ εἴδη, εἰ καὶ μὴ πάντα ὅ-
„ σα τὰ γένη· τὸ γὰρ λογικὸν, εἰ καὶ μὴ πολυέχει τὰ ἄλογα,
„ ὡς πρὸ τὸ ζῶον, ἀλλὰ πολυέχει ἄγγελον, καὶ ἄνθρωπον, ἅ-
„ περ εἴη εἴδη.

Μετὰ τὸ τὰς πάντε ὁμοῦ παραβαλεῖν ἀλλήλαις, τῇ εἰ-
δῶν κατὰ τί μὲν κοινωνοῦσι, κατὰ τί δὲ διαφέρουσι, βούλεται λαβεῖν ἓν ἕκαστον αὐτῶν, καὶ παραβάλλειν πρὸς τὰ λοιπὰ τέσσαρα, καὶ δεῖξαι κατὰ τί μὲν κοινωνεῖ τὸ ἓν τῶν πολλῶν, ἤγουν τοῖς τέσσαρσι, κατὰ τί δὲ διαφέρει. Κοινὸν δὲ γένους καὶ διαφορᾶς τὸ πολυεκτικὸν εἶναι τῶν εἰδῶν. Νῦν ἓν ἕκαστον παραλαμβάνει, καὶ παραβάλλει πρὸς ἕκαστον τῶν λοιπῶν ἰδίᾳ καθ' ἓν· καὶ πρῶτον τὸ γένος παραβάλλει πρὸς τὴν διαφοράν, τῇ λέγει κατὰ τί κοινωνοῦσι, καὶ κατὰ τί διαφέρουσιν.

„ Ὅσα τε κατηγορεῖται τοῦ γένους ὡς γένος, τῇ τῶν ὑπ'
„ αὐτὸ εἰδῶν κατηγορεῖται. ὅσα τε τ διαφορᾶς, ὡς διαφο-
„ ρᾶς, τῇ τὰ ἐξ αὐτῆς εἴδη κατηγορηθήσεται. γένος τε γὰρ
„ ὄντος τοῦ ζώου, ὡς γένους, κατηγορεῖται ἡ οὐσία, καὶ τὸ ἔμ-
„ ψυχον, καὶ τὸ αἰσθητικὸν, ἀλλὰ καὶ τῶν ὑπὸ τὸ ζῶον εἰδῶν
„ πάντων κατηγορεῖται ταῦτα, ἄχρι καὶ τῶν ἀτόμων, δια-
„ φορᾶς τε οὔσης τοῦ λογικοῦ, κατηγορεῖται ὡς διαφορᾶς τὸ,
„ λόγῳ χρῆσθαι, ἐ μόνον δὲ τοῦ λογικοῦ, ἀλλὰ καὶ τῶν ὑπὸ τὸ
„ λογικὸν εἰδῶν κατηγορηθήσεται τὸ, λόγῳ χρῆσθαι.

Ὅσα γὰρ κατηγορεῖται τοῦ ζώου, ταῦτα καὶ τῶν μετὰ τὸ ζῶον εἰδῶν, καὶ ἀτόμων· ὁμοίως δὲ καὶ ἐπὶ τῆς διαφορᾶς. Ἄρα οὖν ἐπειδὴ τοῦ ζώου κατηγορεῖται τὸ γένος· λέγομεν γὰρ τὸ ζῶον γένος, διὰ τοῦτο καὶ εἴδους καὶ ἀτόμου

λαπλασιάζομεν, ἐπειδὴ τὴν πρὸς ἄλληλα παραβολὴν ζητοῦμεν, ἤτοι τὴν διαφοράν· τοῦ δὲ γενομένου ἀριθμοῦ λαμβάνομεν τὸ ἥμισυ, ἐπειδὴ ἐκ τοῦ γενομένου πολλαπλασιασμοῦ συμβαίνει δὶς τὰ αὐτὰ παραβάλλεσθαι πρὸς ἄλληλα· ἕκαστον γὰρ τῶν πέντε, πρὸς τὰ λοιπὰ τέσσαρα πολλαπλασιάζεται· οἷον, τὸ γένος, πρὸς τὰ ἐφεξῆς τέσσαρα, καὶ πάλιν τὸ εἶδος, πρὸς τὸ γένος καὶ τὰ λοιπὰ τρία· καὶ συμβαίνει δὶς τὴν αὐτὴν ἑκάστου παραβολὴν, ἤγουν διαφορὰν ποιεῖσθαι· διὰ τοῦτο θεῖν τοῦ γενομένου ἀριθμοῦ τὸ ἥμισυ λαμβάνομεν.

„ Ἄλλα προηγουμένως μὲν, τῶν ἀτόμων, κατὰ δὲ δεύ-
„ τερον λόγον, καὶ τῶν πρειχόντων τὰ ἄτομα.

Πάσυ ἀναγκαῖον ἐν τούτοις θεώρημα ὁ πορφύριος λέγει· φησὶ γὰρ καὶ τὸ γένη, καὶ αἱ διαφοραὶ, κατηγοροῦνται τῶν εἰδῶν καὶ τῶν ἀτόμων· λέγεται γὰρ καὶ ζῶον καὶ ἄνθρωπος, ὁ σωκράτης· ἀλλὰ προηγουμένως μὲν, τῶν εἰδῶν κατηγοροῦται, κατὰ δὲ δεύτερον λόγον, διὰ ταῦτα καὶ τῶν ἀτόμων· ἐπειδὴ γὰρ ὁ ἄνθρωπος ζῶον, καὶ ὁ σωκράτης ζῶον, καὶ ἐπειδὴ ὁ ἄνθρωπος λογικὸν, καὶ ὁ σωκράτης λογικόν. Κατηγορεῖται δὲ καὶ τὰ ἴδια, καὶ τὰ συμβεβηκότα τῶν εἰδῶν καὶ τῶν ἀτόμων· λέγεται γὰρ γελαστικὸς, ὁ ἄνθρωπος, καὶ ὁ σωκράτης, καὶ λευκὸς, ὁ ἄνθρωπος, καὶ ὁ σωκράτης, ἀλλὰ προηγουμένως μὲν, τῶν ἀτόμων, κατὰ δὲ δεύτερον λόγον καὶ τῶν εἰδῶν· οὐ γὰρ τῷ καθόλου ἄνθρωπον εἶναι γελαστικὸν, ἢ λευκὸν, λέγομεν γελαστικοὺς πάντας τοὺς κατὰ μέρος, ἢ λευκούς, ὁ γὰρ καθόλου ἄνθρωπος, ἀσώματός ἐστι, καὶ οὐχ ὑπάρχει γελαστικὸς, ἀλλὰ τῷ τοὺς κατὰ μέρος ἀνθρώπους εἶναι γελαστικοὺς ἢ λευκούς· καθόλου δὲ, ποιεῖ τῶν ἐν τοῖς πολλοῖς, ἢ ὡς τοῖς πολλοῖς λέγει·

τότητα, ἐπεὶ γὰρ μία τῶν πάντων ἀρχὴ, ἀναγκαῖα τὰ πάντα κοινωνίαν πρὸς ἄλληλα ἔχειν. Πάλιν ἐπεὶ καὶ πολλὰ ἐστι πάντα τὰ ὄντα, ἀνάγκη καὶ ἑτερότητες πάντων εἶναι, ἵνα καὶ πολλὰ ᾖ. ὅπου γὰρ πλῆθος, ἐκεῖ καὶ ἑτερότης. Δηλοῖ δὲ καὶ ὧν τῶν προκειμένων πέντε φωνῶν ἐστιν ἡ, οὐσίαν, ταυτότητα, ἑτερότητα. ἀλλὰ καὶ πρὸ τῆς οὐσίας ἤδη προείρηται, ἔφη γὰρ τὸ ὑπάρξειν αὐτῶν. πρὸ δὲ τῆς ταυτότητος καὶ ἑτερότητος νῦν λέγει, καὶ κατὰ τί κοινωνοῦσι, καὶ κατὰ τί διαφέρουσι. καὶ δύνανται μὲν οἱ φυσικῶς διακεῖσθαι ἐκ τῶν ἤδη ῥηθέντων τοῦτο ποιῆσαι. ἀλλ' ἐπειδὴ τὸ βιβλίον πρὸς πάντων ὧν ποιεῖται λόγων γράφει, τοῦτο δὲ δῆλον ἐκ τοῦ τὰ ὧν πόλεις τῶν θείων μάτων πρὸς αὐτὸν γράφειν, αὐτὸς ἐκ τῶν ῥηθέντων ἐκλιξάμενος ταῦτα λέγει. καὶ πρότερον μὲν λέγει τὰ κοινὰ τὰ πᾶσι παρακολουθοῦντα, ἵνα ἓν ἕκαστον παραβάλλῃ πρὸς τὰ λοιπὰ τέσσαρα, καὶ λέγει κατὰ τίμε, κοινωνοῦσι, κατὰ τί δέ, διαφέρουσιν. Ἰσέον δ' ὅτι ἐν διαφορῶν πάντων ὑποκειμένων ἐρευνήσομεν μαθεῖν, πόσας ποιεῖσιν αὐταὶ διαφορὰς τῶν πρὸς ἀλλήλας συμπλοκῶν, μεθόδῳ τριαύτῃ ὀφείλομεν χρήσασθαι. δεῖ γὰρ λαμβάνειν τὸν μονάδι ἐλάττονα ἀριθμὸν, καὶ πολυπλασιάζειν ὧν τὸν ἐξ ἀρχῆς προκείμενον, καὶ τὸν γενόμενον μερίζειν δίχα, καὶ τοσαύτας συμπλοκὰς λέγειν γίνεσθαι. οἷον, πέντε ἐστὶν αἱ φωναὶ αἱ νῦν συγκρινόμεναι πρὸς ἀλλήλας. λάβε τὸν μονάδι ἐλάττονα, τὸν τέτταρτον, καὶ ποίησον τετράκις πέντε, καὶ γίνονται εἴκοσι, τούτων αὖθις τὸ ἥμισυ, ὅπερ ἐστὶ δέκα. καὶ τοσαύτας λέγε γίνεσθαι τῶν πέντε, τὰς πρὸς ἀλλήλας συμπλοκάς τε καὶ συγκρίσεις. λαμβάνομεν τὸν μονάδι ἐλάττονα, ἐπειδὴ αὐτό τι πρὸς αὐτὸ, οὐδὲν παραβάλλεται, ἀλλ' ἄλλο πρὸς ἄλλο. πρὸς ἀλλήλους δὲ πολ

ἁπλῶς ἐπὶ πασῶν. ἐχ ὡρίσατο ὁ ἐκάνασ ὕτως, ἐπειδὴ ἄγνωστοι ἦσαν αἱ ἐφεξῆς φωναί. γνῶ δὲ μετὰ τὸ διδάξαι πάσασ, ἐκ τούτων ὡρίσατο τὸ συμβεβηκός. ἐπεὶ δὲ ἡ τῶν πασῶν αἵρεσις οὐ μόνον τὸ συμβεβηκὸς ἠσφάλη, ἀλλὰ καὶ τραγέλαφον καὶ ἄλλα πλεῖστα, προσέθηκε ὅτι, ἀεὶ δ' ἐστὶν οὐ ὑποκειμένῳ ὑφιστάμενον ἃ δὲ ἀεὶ οὐ ὑποκειμένῳ ἐστὶν ὑφιστάμενον τὸ συμβεβηκὸς, ἐξέωσε τὸν τραγέλαφον, οὐχ ὑφίστανται γὰρ οὐ ὑποκειμένῳ, ἀλλ' ἔστιν οὐ μὴ ὑπονοία. ἐπειδὴ δὲ ἐκ εἶπε τί ἐστιν, ἐξ ἀποφάσεως ἐποιήσατο τὴν ὑπογραφὴν, ἐρωτῶν ὅπου τὸ γένος ἐστὶν, ὅτε τὰ λοιπὰ, καὶ τί ἐστὶ λέγει, ὅτι οὐ ὑποκειμένῳ ὑφίστανται.

## ΠΕΡΙ ΚΟΙΝΩΝΙΑΣ ΤΩΝ ΠΕΝΤΕ ΦΩΝΩΝ.

» Κοινὸν μὲν δὴ πάντων τὸ, κατὰ πλειόνων κατηγορεῖσθαι, ὡς εἴρηται· ἀλλὰ τὸ μὲν γένος, τῶν ὑπ' αὐτὸ εἰδῶν καὶ ἀτόμων, καὶ ἡ διαφορὰ ὡσαύτως· τὸ δὲ εἶδος τῶν ὑπ' αὐτὸ ἀτόμων· τὸ δὲ ἴδιον, τοῦτο εἴδους οὗ ἐστιν ἴδιον, καὶ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων, τὸ δὲ συμβεβηκὸς, καὶ εἰδῶν καὶ ἀτόμων. τότε γὰρ ζῷον, ἵππου τε καὶ βοὸς κατηγορεῖται, εἰδῶν ὄντων, καὶ τοῦδε τοῦ ἵππου, καὶ τοῦδε τοῦ βοὸς, ἀτόμων ὄντων. τὸ δὲ ἄλογον, ἵππου καὶ βοὸς κατηγορεῖται, καὶ τῶν κατὰ μέρος· ὁ δὲ ἄνθρωπος, τῶν κατὰ μέρος μόνων κατηγορεῖται· τὸ δὲ γελαστικὸν τοῦ ἀνθρώπου καὶ τῶν κατὰ μέρος· τὸ δὲ μέλαν τοῦτο εἶδους τῶν κοράκων καὶ τῶν κατὰ μέρος, συμβεβηκὸς ὂν ἀχωρίστου, καὶ τὸ κινεῖσθαι ἀνθρώπου τε καὶ ἵππου, χωριστὸν ὂν συμβεβηκός.

Ἐν πᾶσι τοῖς πράγμασι, τρία ταῦτα θεωροῦμεν, οὐσίαν, ταυτότητα, ἑτερότητα. Οὐσίαν δὲ λέγω τὴν ἀνυποκειμένην τοῖς συμβεβηκόσιν, ἀλλὰ τὴν ἑκάστου πράγματος ὕπαρξιν, διὸ καὶ ὄντα λέγεται. Ἔχει δὲ καὶ ταυτ-

τῆς φαλάκρας, φασὶ γὰρ φθείρειν τὸ ὑποκείμενον, ἤγουν τὰς τρίχας. Ἴσεν τοίνυν, ὅτι οὐχ ὑπόκεινται τῇ φαλάκρᾳ αἱ τρίχες, ἀλλ' ἡ κεφαλή· καὶ αὕτη οὐ φθείρεται. Τὸ δὲ μέλαν εἶναι, ἀχωρίστως τῷ κόρακι καὶ τῷ αἰθίοπι συμβέβηκε. καλῶς εἶπε τῷ κόρακι καὶ τῷ αἰθίοπι, ἐπεὶ γὰρ πολλὰ μέλανα, οὐ λευκαίνονται. εἶπον δέ, ὅτι καὶ τὰ ἀχωρίστως συμβεβηκότα ἐστὶ χωρίσαι τῇ διανοίᾳ δυνατὸν, τὰς δὲ ἰδιαίτατα διαφορὰς, οὐ δὲ τῇ διανοίᾳ, οὐ δὲ γὰρ τὸν ἄνθρωπον ἐκτὸς τοῦ λογικὸν ἐννοῆσαι δυνατὸν, ἐπεὶ οὐ δ' ἂν εἴη ἄνθρωπος, οὔτε θεὸς ἀγγέλους τὸ ἀθάνατον, ἐπεὶ οὐκέ πω ἄγγελοί εἰσι.

» Ὁρίζονται δὲ αὐτὸ καὶ οὕτως. συμβεβηκός ἐστιν, ὃ ἐν
» δέχεται τῷ αὐτῷ ὑπάρχειν, ἢ μὴ ὑπάρχειν, καὶ ὃ οὔτε γέ-
» νος ἐστὶν, οὔτε διαφορὰ, οὔτε εἶδος, οὔτε ἴδιον, ἀεὶ δὲ ἐστιν ἐν
» ὑποκειμένῳ ὑφιστάμενον. Διαφορισθέντων δὲ πάντων
» τῶν προτεθέντων, λέγω δὴ γένους, εἴδους, διαφορᾶς, ἰδίου
» καὶ συμβεβηκότος, ῥητέον πῶς τε κοινὰ πρόσεστι αὐτοῖς,
» καὶ πῶς ἴδια.

Ἄλλως ὑπογραφὴν ἀποδίδωσι τοῦ συμβεβηκότος, ἀκριβεστέραν τῆς προτέρας, μᾶλλον γὰρ ἐφαρμόζει τοῖς ἀχωρίστοις, τὸ ἐπιὸν ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν, ἢ μὴ ὑπάρχειν, ἢ τὸ γίνεται, καὶ ἀπογίνεται, ἢ ὃ οὔτε γένος ἐστὶν, οὔτε διαφορὰ, οὔτε εἶδος, οὔτε ἴδιον, ἀεὶ δὲ ἐστιν ἐν ὑποκειμένῳ ὑφιστάμενον. ἄλλως ὑπογραφὴν ἀποδίδωσι τοῦ συμβεβηκότος, δυναμένην καὶ διὰ τεσσάρων φωνῶν ἀποδίδοσθαι, ἐκ τῆς τῶν λοιπῶν αἱρέσεως. καὶ γὰρ ὁ μὲν γένος ἐστὶ φησὶν, μήτε εἶδος, μήτε διαφορὰ, μήτε ἴδιον, ἀεὶ δ' ἐστιν ἐν ὑποκειμένῳ ὑφιστάμενον. ἔχει τοίνυν ἐπὶ τῆς καὶ ἐπ' ἐκείνων, οἷον, ὡς τοῦ γένους, ὃ μήτε διαφορά ἐστι, μήτε εἶδος, μήτ' ἴδιον, μήτε συμβεβηκὸς, ἀεὶ δὲ ὑφέστηκε, καὶ

ἀμέτρως αὐξῶ ἢ πυρετοῦ, ἢ ψύξεως ὧν γινομένων, ἢ πυὸς
τὴν παραπλησίων. οὐ γὰρ ἡ τυχοῦσα ἄμετρος βραδύτης,
πυρετός ἐστιν, οἷον, ἢ ἐν σιδήρῳ, ἢ ἐν πυρί, ἀλλ' ἢ ἐν ζώοις σώ
ματι· ἀμέλει φθειρομένου τούτου, καὶ ὁ πυρετὸς συμφθεί
ρεται, ὡς ἐν αὐτῷ τε εἶναι ἔχων. Ἐπλυνόμεθα οὖν τὴν
ἀπορίαν τὴν ἐξ ἀρχῆς, οὕτως· αἱ κινήσεις καὶ αἱ μεταβολαὶ ἐν τέτρασι γίνονται κατηγορίαις· ἢ γὰρ ἐν οὐσίᾳ,
ἢ ἐν ποσῷ, ἢ ἐν ποιῷ, ἢ ἐν τῷ τοῦ ποῦ κατηγορίᾳ. Καὶ
ἡ μὲν κατ' οὐσίαν μεταβολὴ ποιεῖ τὴν γένεσιν καὶ τὴν
φθοράν· γένεσις μὲν γάρ ἐστιν, ἢ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν
μεταβολή, φθορὰ δέ, ἢ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν. Κατὰ
ποσὸν δέ, αὔξησις καὶ μείωσις. Κατὰ ποιὸν δέ, ἀλλοίω
σις, λεύκανσις, καὶ βάρυνσις, καὶ αἱ κατὰ τὰς λοιπὰς
ποιότητας κινήσεις. Ἔτι δὲ καὶ ἡ κατὰ τόπον μεταβο
λή, ἣν καλοῦσι φοράν. Εἰ τοίνυν ἡ γένεσις οὐσιώδης
ἐστὶ μεταβολὴ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν ἄγουσα, καὶ ἡ αὖ
πάλιν ἀρχὴ ταύτην φθορὰ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὂν ἄγου
σα, καθ' αὑτὴν κατ' οὐσίαν ἐστὶ μεταβολή, ὥστε ὁ πυρετὸς ἢ
φθείρει τὸ ὑποκείμενον, ἐκ καθ' ἑαυτὸν συμβεβηκὸς, ἀλλὰ κατ'
οὐσίαν μεταβολή, ἣν καλοῦσι φθοράν. Ἐπειδὴ γὰρ ἡ γένε
σις καὶ ἡ φθορὰ, ἀλλοίωσις μὲν οὐκ ἔστιν, οὐκ αὖ δὲ ἀλ
λοιώσεως γίνονται. ὅταν μὲν ἓν μετρίᾳ γίνηται ἀλλοίω
σις, βάρυνσις, ἢ ψύξις, ὥστε μὴ φθείρειν τὴν τοῦ ζώου συμ
μετρίαν, συμβεβηκὸς ἡ τοιαύτη ποιότης ἐστὶν, ἥτις καθ' ἑαυ
τὴν μὴ φθεῖρουσα τὸ ὑποκείμενον, ὅταν δὲ ὑπερπλήσῃ
ἐκτὸς, ὡς τὴν συμμετρίαν τῆς τοῦ ὑποκειμένου κράσεως
φθεῖραι, τότε λοιπὸν οὐκ ἔστιν ἀλλοίωσις τὸ τοιοῦτον, οὐ δὲ
κατὰ συμβεβηκὸς μεταβολὴ, ἀλλ' αὐτῆς τῆς οὐσίας. ὥς
πὰρ πᾶς πυρετὸς φθείρει, ἀλλ' ὁ ἄμετρος. ὃς δὲ συμβεβη
κὼς ἐστὶν, ἀλλ' εἰς τὸ μὴ ὂν μεταβολή. Ἀπορήσει δὲ τις

ἀλλὰ καὶ ἐξ ὑποκειμένου τινὸς τριχῇ διαστατοῦ, κατὰ τὸν ἴδιον λόγον ἀποίου σώματος, ᾧ ὑφίσταται πᾶσα ποιότης. ἐνέμια δὲ ποιότης μάχεται τῷ ἰδίῳ ὑποκειμένῳ, ἢ φθείρει τὸ ᾧ τὴν ὑπόστασιν ἔχει· φθείρουσα γὰρ τὸ ὑποκείμενον, καὶ ἑαυτὴν συμφθείρει, τοῦ γὰρ ᾧ τὴν ὕπαρξιν ἔχει φθαρέντος, καὶ ἑαυτὴν συμφθείρεσθαι ἀνάγκη, καθ' ἑαυτὴν εἶναι μὴ δυναμένην. οὐδὲν δὲ ἐστιν ἑαυτοῦ φθαρτικόν· ποιότης γὰρ ποιότητι μάχεται, οὐχὶ τῷ ὑποκειμένῳ σώματι. ὥστε ἀδύνατον πυρετὸν, ἢ ἕτερόν τινα ὅλως ποιότητα φθεῖραι τὸ ἴδιον ὑποκείμενον· ἕκαστον γὰρ τοῦ εἶναι ἐφίεται· ἐπειδὰν γοῦν μίαν τῶν ἐναντίων τούτων ποιοτήτων ἐξ ὧν κέκραται τὸ σῶμα πλεονάσασα συμβῇ, φθείρεσθαι τὴν τοῦ παντὸς σώματος ἁρμονίαν ἀνάγκη. καταλαβοῦσα γὰρ τὸ ὑποκείμενον ὡς τοῦτο σῴζομένῳ, φθείρει τὴν μαχομένην αὐτῇ καὶ ἐναντίαν· ἐν ἐκείνῳ ἐξωθήσασα, τὸν αὐτῆς καταλάβῃ τόπον. ὥσπερ οἱ πρὸς κοινοῦ χωρίου πολεμοῦντες ἀλλήλοις, οὐδεὶς γὰρ ἕκαστος τὸν ἀντικείμενον ἀπωθήσασ' αὐτὸς κατέχει τοῦ χωρίου γενέσθαι. οὕτως ἐν φορᾷ καὶ τοῦ θερμοῦ καὶ ψυχροῦ μαχομένων περὶ τὸ αὐτὸ ὑποκείμενον, ἐν ὅσῳ μὲν δεύτερον ὑπερέχει, τῶν συμμετριάζει τούτων τὸ ὑποκείμενον, βαρύτερον δ' ὑπερασθὲν τοῦτο, τὸ μὲν ἀντικείμενον φθαρὲν ὑπὸ τοῦ ὑπερασθέντος, ἐξίσταται· τὸ δ' ὑποκείμενον, ἔδιν πάσχει, οὐ δ' ὑπὸ τῆς ὑπερτούσης ποιότητος φθείρεται· ὥστε ὑπὸ τοῦ πυρετοῦ ἡ μὲν ἁρμονία, καὶ ἡ δύκρασία, τὴν δὲ τῷ σώματι ποιότητα φθείρεται, αὐτὸ δὲ τὸ σῶμα ὅπερ ὑποκείμενον ἦν ταῖς ποιότησιν, οὐ φθείρεται. Ἴσως δ' ἄν τις εἴποι ἡμῖν πρὸς τὰ ἠρημένα, ὡς τῷ πυρετῷ ὑποκείμενον ἐστιν οὐχ ἁπλῶς τὸ σῶμα, ἀλλὰ τὸ τοιῶσδε κεκραμένον τοῦ ζώου σῶμα, ὅπερ φθείρεται,

εἶσι, ἢ κόρακι μέλαν, ἀδιάστατον ἀποχωρίσθαι χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. εἴπωμεν δὲ ἤδη, ὅτι εἰ καὶ μὴ κατ' ἐνέργειαν ἀπογίνεται, ἀλλ' οὖν τῇ διανοίᾳ ὁ κόραξ καὶ ὁ αἰθίοψ λευκὸς, τοῦ δὲ ἀνθρώπου τὸ ζῷον, οὐ δὲ τῇ διανοίᾳ χωρίσαι δυνατὸν, ἅμα γὰρ τὸ νοῆσαι τὸν ἄνθρωπον μὴ εἶναι ζῷον, φθείρομεν αὐτόν· διανοησάμενοι δὲ τὸν κόρακα μὴ εἶναι μέλανα, ἢ τὸν αἰθίοπα, οὐ φθείρομεν αὐτοῦ τὴν οὐσίαν ὡς κόρακος, ἢ ἀνθρώπου. Ἀ μέλη, καὶ ἡ ἀφέλου τὶς τοῦ κόρακος τὰ πτερὰ, ἔδειν ἧττον ἦν κόραξ· καὶ τὸν αἰθίοπα ἐλεύκανε διανοήσας, οὐδὲν ἧττον ἐστὶν ἄνθρωπος· ὥστε καὶ τὰ ἀχώριστα, ἐὰν μὴ τῇ ἐνεργείᾳ ἀπογίνεται, ἀλλ' οὖν τῇ διανοίᾳ. Ἀπορεῖται δὲ καὶ τοῦτο, πῶς λέγεται γίνεσθαι καὶ ἀπογίνεσθαι χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς· ὁ γὰρ πυρετὸς γινόμενος φθείρει τὸ ζῷον· φαμὲν τοίνυν ὡς τοῦτο, οὐκ ἂν τὸ πυρέττειν μόνον ἔδει ἀπορεῖν, ἀλλὰ καὶ περὶ ἀμέτρου πύξεως, καὶ ξηρότητος, καὶ ὑγρότητος· ταῦτα γὰρ πάντα προσγινόμενα φθείρει τὸ ζῷον· φαμὲν ἔν ὅτι καὶ χορδὴ ἐν ταῖς χορδαῖς διανοηθεῖσα καὶ ἀνειμένη τὴν ἁρμονίαν γίνεσθαι συμβαίνει, τὸ μέντοι ὑποκείμενον οὐ φθείρεται, οὔτω καὶ ἐνταῦθα, βραδύτητος ἢ πύξεως ἀμέτρου γινομένης, ἢ πυκνότητος παραπλησίων, τὴν μὲν συμμετρίαν καὶ ἁρμονίαν τῶν ἐν τῷ ζῴῳ συμβαίνει φθείρεσθαι, σώζεσθαι δὲ τὸ ὑποκείμενον, τοῦτ' ἔστι τὸ σῶμα, τὸ γὰρ τῇ βραδυτῆτι, ἢ τῇ πύξει ὑποκείμενον, οὐχ ἁπλῶς τὸ ζῷόν ἐστιν, ἀλλὰ τὸ σῶμα. σώματος δὲ τοῦτο ἐστὶν ἐκ τῶν ἐναντίων, ψυχρῶν τε καὶ βραδέων, ξηρῶν τε καὶ ὑγρῶν. ἐν γὰρ τῷ ἐν ὁ ἄνθρωπος φησὶν Ἱπποκράτης, οὐκ ἀπήλεγεν. ἓν δ' ἂν εἴη καὶ τὸ ἰσόμοιον αὐτοῦ. νῦν δὲ κραθέντων αὐτῶν ἀλλήλων, καὶ εἰς ἕνωσιν καὶ φιλίαν ἁρμοσθέντων, οὐκ ἐκ τῶν ἐναντίων δὲ μόνων ἐναντίων ποιοτήτων συνέστηκε τὸ τοῦ ζῴου σῶμα,

εὐθὺς διδασκαλίαν καὶ πρὸς τοῦτον ἐδίδαξεν. ὧν μὲν γὰρ τῶν ἄλλων φωνῶν, πρότερον ἀπηριθμήσατο τὰς διαφορὰς αὐτῶν σημαινόμενα, καὶ τότε ἔλεγε πρὸς ποίου τοῖς φιλοσόφοις ὁ λόγος. ἐνταῦθα δὲ οὐ τοῦτο ποιεῖ, ἀλλ' εὐθὺς τὴν ὑπογραφὴν τοῦ συμβεβηκότος λέγει, εὐθὺς ὅτι πρὸς πάντων τῶν σημαινομένων τοῦ συμβεβηκότος ὁ λόγος τοῖς φιλοσόφοις. Εἰ δὲ τὸ συμβεβηκὸς γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, δῆλον ἐν τούτοις, ὡς οὐκ εἰσὶ σώματα τὰ συμβεβηκότα, εἰ γὰρ ἦσαν σώματα προσβέμενα μὲν τοῖς σώμασιν, ἔχον αὐτὰ δηλονότι αὔξειν, ἀφαιρούμενα δὲ, μειοῦν. εἰ δὲ μήτε προσβέμενα, μήτε ἀφαιρούμενα λυμαίνεται τὰ σώματα, ἆρα τὰ συμβεβηκότα ἀσώματά ἐστι. Καὶ ἄλλως, εἰ ἦσαν σώματα, ἔμελλον ἕξειν τόπους πλειόνων σωμάτων εἶναι περιεκτικούς. ὅπερ ἀδύνατον, ἐν γὰρ τῷ μέλιτι ἐστι καὶ οἶνος, καὶ χολὴ, καὶ γλυκύτης. καὶ ταῦτα, εἰ ἦν σώματα, οὐκ ἔμελλον ἕξειν τόπον. ὅπερ ἀδύνατον, σῶμα γὰρ διὰ σώματος χωρῆσαι ἀδύνατον. Καὶ ὅτι μὲν τὰ χωριστὰ συμβεβηκότα τοῦ ὑποκειμένου οὐ λυμαίνεται, αὐτὰ γινόμενα καὶ ἀπογινόμενα, δῆλον, τὸ γὰρ καθῆσθαι, ἢ ἑστάναι, ἢ θερμαίνεσθαι, ἢ ψύχεσθαι, γίνεται καὶ ἀπογίνεται, μὴ φθείροντα τὸ ὑποκείμενον. ἆρα οὖν καὶ τὰ ἀχώριστα ἀπογίνεται μὴ λυμαινόμενα τὸ ὑποκείμενον, σιμότης λέγω, καὶ γρυπότης, καὶ μελανία ἐν τῷ κόρακι; φαμὲν ἔν, ὅτι ἡ καὶ μὴ τῇ ἐνδεχομένῃ, ἀλλ' οὖν γε τῇ ὑπαρχούσῃ, καὶ ταῦτα χωρίζεται. καὶ γὰρ δύναται ἡ καμπύλωσις τὴν ῥῖνα, μένειν ῥὶς οὐδὲν ἧττον. Εἴρηται δὲ τινα πρὸς τοῦ ἀποδιδομένου ὁρισμοῦ ἀπορεῖσθαι. φασὶ γὰρ ὡς ἤδη εἴρηται, μὴ πᾶσιν ἁρμόζειν τοῖς συμβεβηκόσι τὸν ὁρισμὸν, ἀλλὰ τοῖς χωριστοῖς, τὸ γίνεσθαι λέγω, καὶ ἀπογίνεσθαι, τὸ γὰρ ἐν αὐ-

βίοτ, ἢ

ἀεί, εἶση, τῷ ἀνθρώπῳ, τὸ μελανικόν, καὶ τῷ ἵππῳ, τὸ χρεμετιστικόν, καὶ τῷ κυνί, τὸ ὑλακτικόν. τούτων δὲ ἕκαστον λέγεται κατὰ δύναμιν, οὐ κατ' ἐνέργειαν. οὐ γὰρ καθὸ μελᾷ, ἢ χρεμετίζει, μελανικὸν λέγεται, ἢ χρεμετιστικόν, ἀλλὰ καθὸ πέφυκε. τοῦτο γὰρ ἐστὶ τὸ κυρίως ἴδιον, τὸ τῷ μόνῳ, καὶ παντὶ, καὶ ἀεὶ ὑπάρχον. ὡς τὸ πορφύριος κατεχρήσατο τῶν τὴν ἄλλων συμαινομένων, καὶ ἁπλῶς τὸ κοινὸν πρὸ λεγόμενον ἴδιον λαβὼν, εἰς πέντε διῆλε. Τριῶν δυοῖν οὐσῶν αἰτιβισιῶν, ἐξ ὧν τὰ τοῦ ἰδίου σημαινόμενα ἐλήφθη, τούτων πρὸς ἄλληλα συμπλεκομένων, πλείονες γίνονται αἱ ἕξεις αὐτῶν. ἐξ ὧν αἱ μὲν, εἰσὶν ἀσύστατοι, αἱ δὲ, σωιστόμεναι πέντε, ὡς διὰ τῶν ὑπογραμμῶν δήλουται. τοῦτο δ' αὖ τῷ ἀεὶ σύμφυτον. τῷ δὲ ἐπὶ ἐν σύμφυτον, τῷ δύναμιν καὶ τὸ πεφυκέναι ἐνεργεῖν, οὐ τῷ ἐνεργεῖν. ἐν γὰρ καὶ μὴ ἀεὶ μελῶμεν, ἀλλὰ μελανικοὶ ἐσμεν λεγόμεθα ἀεί. δυνάμει γὰρ ἔχομεν τὸ μελᾷν ἀεί, καὶ πεφύκαμεν μελᾷν ἀεί. μελανικοὶ σωιζόμεθ', οὐ μελῶντες ἀεί. ἄλλο γὰρ τὸ μελᾷν, καὶ ἄλλο τὸ μελανικὸν, καὶ ἄλλο τὸ χρεμετίζειν, καὶ ἄλλο τὸ χρεμετιστικόν.

## ΠΕΡΙ ΣΥΜΒΕΒΗΚΟΤΟΣ.

» Συμβεβηκὸς δέ ἐστιν, ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς
» τῆς τοῦ ὑποκειμένου φθορᾶς. διαιρεῖται δὲ εἰς δύο, τὸ μὴ
» γὰρ αὐτοῦ χωριστόν ἐστι, τὸ δὲ ἀχώριστον. τὸ μὲν οὖν καθόλου
» ὂν, χωριστόν ἐστι συμβεβηκός. τὸ δὲ μέλαν εἶναι, ἀχώρι-
» στος τῷ κόραξι, καὶ τῷ αἰθίοπι συμβέβηκε. δύναται δὲ καὶ
» ὑπάρχειν καὶ κόραξι λευκὸς, καὶ αἰθίοψ ἀποβαλὼν τὴν χρο-
» αν χωρὶς φθορᾶς τοῦ ὑποκειμένου.

Τῶν προκειμένων πραγμάτων πρὸς τὴν διδασκαλίαν ὑστέραν τάξιν ἔχει τὸ συμβεβηκός. λείπεται τοίνυν περὶ τούτου τὸν λόγον ποιήσασθαι. Ἴσον δὲ ὅτι, οὐ κατὰ τὴν

» οὐ, τῷ γελᾶν ἀεὶ; ἀλλὰ τῷ ἀεί πεφυκέναι. τοῦτο δέ, ἀεὶ
» ὡτῷ σύμφυτον ὑπάρχει, ὡς καὶ τῷ ἵππῳ τὸ χρεμετιστικόν.
» ταῦτα δὲ καὶ κυρίως ἴδια φασιν. ὅτι καὶ αὐτισρέφει, ἐστὶ
» γὰρ ἵππος, χρεμετιστικόν, καὶ ἔστι χρεμετιστικόν, ἵππος.

Πληρώσας τὸν περὶ τῆς διαφορᾶς λόγον, περὶ τοῦ ἰδίου λοιπὸν διαλέγεται, τοῦτο γὰρ ὧν ἀκόλουθον κατὰ τὴν ἡρμένην τάξιν. διαλεχθεὶς γὰρ περὶ τῆ οὐσιωδῶν, αὐταναγκαίως καὶ περὶ τῆ ἐπουσιωδῶν διαλέγεται. ἀλλὰ καὶ ἀπὸ τοῦ ἰδίου ἄρξεται, ὡς μεταχμίας τινὸς ὄντος. κοινωνεῖ γὰρ καὶ τοῖς οὐσιώδεσι, καθ' ὃ μόνῳ, καὶ παντὶ, καὶ ἀεὶ, ὑπάρχει τὸ κυρίως ἴδιον, ὥσπερ καὶ τὰ οὐσιώδη, καὶ γὰρ ταῦτα, καὶ πᾶσι καὶ ἀεὶ ὑπάρχει, οἷς ὑπάρχει. κοινωνεῖ δὲ καὶ τοῖς συμβεβηκόσιν, ὅτι ὥσπερ ἐκεῖνα τῇ ὠυσία χωρίζεται τοῦ ὑποκειμένου, οὕτω καὶ τὸ ἴδιον τῇ ὠυσίᾳ χωρίζεται. πάλιν δὲ κατὰ τὸν αὐτὸν τύπον τῆς διδασκαλίας, πρότερον αὐτοῦ τὰ σημαινόμενα ἀπαριθμεῖται, καὶ οὕτω λέγει περὶ ποίου τοῖς φιλοσόφοις ὁ λόγος. Τρόπον ἄν τινα διαιρεῖ τὰ σημαινόμενα τὸ ἴδιον, καὶ φησὶν οὕτως. τὸ ἴδιον, ἢ μόνῳ τινὶ ὑπάρχει εἶδει, ἢ μόνῳ. καὶ εἰ μόνῳ, ἢ παντὶ τῷ εἴδει ὑπάρχει, ἢ οὐ παντί. καὶ εἰ μὴ μόνῳ πάλιν, ἢ παντὶ, ἢ παντὶ, ἢ οὐκ ἀεί. ἡ μὲν οὖν διαίρεσις, αὕτη. Καὶ ἔστιν ἓν μὲν σημαινόμενον καὶ πρῶτον, τὸ μόνῳ τινὶ συμβέβηκε, οὐ παντὶ δὲ, ὡς τῷ ἀνθρώπῳ τὸ ἰατρεύειν, τὸ φιλοσοφεῖν, τὸ γεωμετρεῖν, ἢ τι τοιοῦτον. Δεύτερον δὲ, τὸ παντὶ μὲν, οὐ μόνῳ δὲ, ὡς τῷ ἀνθρώπῳ τὸ ἔνυαι δίποδι, παντὶ γὰρ ἀνθρώπῳ ὑπάρχει, οὐ μόνῳ δὲ, καὶ γὰρ καὶ πετεινοῖς ὑπάρχει τὸ δίποσιν ἔνυαι. Τρίτον δὲ, τὸ καὶ μόνῳ καὶ παντὶ, οὐκ ἀεὶ δὲ, ἀλλὰ ποτὲ, ὡς τῷ ἀνθρώπῳ τὸ ἐν γήρᾳ πολιοῦσθαι. μόνῳ γὰρ καὶ παντὶ, ἀλλ' οὐκ ἀεὶ πεπολίωται, ἀλλ' ἐν γήρᾳ. Τέταρτον δὲ, ἐφ' οὗ σωδεδράμηκε, καὶ τὸ μόνῳ καὶ παντὶ καὶ

χοῦσα διαφορὰ, οὐ δὲ ἡ κοινῶς, οὐ δὲ ἰδίως, οὐ δὲ τὸ καθ' ἕξιν ἔχεσθαι καὶ ἴσασθαι, ἢ τὸ σιμὸν καὶ τὸ γρυπὸν χωρίζει, ἀλλ' ἢ ἰδιώτατα, προσελθὸν γὰρ τὸ λογικὸν καὶ τὸ θνητὸν ἐν χώρισι τὸν ἄνθρωπον ἀπὸ τοῦ ἵππου, ἢ συμπτικὸν τοῦ νῦν καὶ ὠτακμῆς δεκτικὸν εἶναι, τοῦτο γὰρ, μόνῳ ἀνθρώπῳ ὑπάρχει, ἐπεὶ οὐ δὲ ἐνὶ, ὡς πάσης γνώσεως κρεῖττονι, οὐδὲ τοῖς ἀλόγοις, ἐπεὶ οὐδ' αὐτοῖς πέφυκε· καὶ πάλιν, οὐ τῆς δὲ τινος ὠτακμῆς, οὐ δὲ τῆς γραμματικῆς μόνης, ἀλλὰ πάσης· Καὶ τοῦ τί ἦν εἶναι, καὶ ὃ τοῦ πράγματος εἰσὶ μέρος· Ἀντὶ τοῦ καὶ εἰς τὸν ὁρισμόν· τὸ γὰρ τί ἦν εἶναι, σημαίνει παρὰ ἀριστοτέλει τὸ ὁρισμόν, ὥστε οὐ τοῖς γραμματικοῖς ἡ μῆνις τῷ ὀργῇ· ἐπειδὴ ὁ ὁρισμὸς τὸ τί ἐστιν ἑκάστου, καὶ τὸ εἶναι σημαίνει· ὃ θεῖ μέρος ἐστὶ τοῦ ὁρισμοῦ, ἐκεῖνο διακρίνει· τὸ γὰρ νοῦ καὶ ὠτακμῆς δεκτικὸν εἶναι, μέρος γίνεται τοῦ ὅρου· διὰ τοῦτο αὕτη διαφορὰ ἀπὸ πάντων διακρίνει τὸν ἄνθρωπον· Οὐ γὰρ τὸ πέφυκέναι πλεῖν, οὐ λέγει τὸ πλεῖν, τὸ νήχεσθαι, ἢ τὸ φέρεσθαι ὑπὸ τοῦ ὕδατος, οὕτω γὰρ καὶ τὰ ἄλογα, καὶ τὰ ἄψυχα πέφυκασι πλεῖν, ἀλλὰ τὸ ναυτίλλεσθαι, τοῦτο γὰρ ἴδιον ἀνθρώπου· ἀλλ' ὃ κατὰ τὸ ναυτίλλεσθαι ὁ ἄνθρωπος χαρακτηρίζεται, ἐπεὶ ὅτως οἱ μὴ ναυτιλλόμενοι, οὐκ ἄνθρωποι ἦσαν ἄνθρωποι.

## ΠΕΡΙ ΤΟΥ ΙΔΙΟΥ.

» Τὸ δὲ ἴδιον διαιροῦσι τετραχῶς· καὶ γὰρ ὃ μόνῳ τινὶ
» ἀεὶ συμβέβηκε, εἰ καὶ μὴ παντὶ, ὡς ἀνθρώπῳ τὸ ἱατρεύειν, ἢ τὸ γεωμετρεῖν· Καὶ ὃ παντὶ συμβέβηκε τῷ
» αὐτῷ, εἰ καὶ μὴ μόνῳ, ὡς τῷ ἀνθρώπῳ τὸ εἶναι δίποδι·
» Καὶ ὃ μόνῳ, καὶ παντὶ, καὶ ποτὲ, ὡς ἀνθρώπῳ παντὶ τὸ
» σὺν ἡρᾷ πολιοῦσθαι· Τέταρτον δὲ, ἐφ' οὗ σωλοικισμὸς
» καὶ τὸ, μόνῳ, καὶ παντὶ καὶ ἀεὶ· ὡς τῷ ἀνθρώπῳ τὸ γελᾶν· Καὶ γὰρ μὴ γελᾷ ἀεὶ, ἀλλὰ γελαστικὸν λέγεται,

εἴδη δὲ αἱ διαφοραί. Ἐπὶ πάντων ἡ μὲν ὕλη ἑκάστῳ τὸ εἶναι παρέχει, τὸ δὲ εἶδος, τὸ ποῖον, καὶ τὸ τοιόνδε, ἐκάστοις τὸ μὲν γένος ἐπὶ τῷ τί ἐστι καταχρῆται, ὡς ἀναλογοῦν τῇ ὕλῃ, ἡ δὲ διαφορὰ, ἐπὶ τῷ ὁποῖόν τί ἐστιν, ὡς ἀναλογοῦσα τῷ εἴδει. Ὁ κοινὸς τε καὶ ἐδικός. κοινὸς, ὁ καθόλου, ἐδικὸς δὲ, ὁ καθ' ἕκαστα.

Ὑπογράφουσι δὲ τὰς τοιαύτας διαφορὰς καὶ οὕτω. διαφορά ἐστι, τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος. τὸ λογικὸν γὰρ καὶ τὸ ἄλογον, τὸν ἄνθρωπον καὶ τὸν ἵππον ὑπὸ τὸ αὐτὸ γένος ὄντα, τὸ ζῷον, χωρίζει. Ἀποδιδόασι δὲ καὶ οὕτω. διαφορά ἐστιν, ὅτῳ διαφέρει ἕκαστα. ὁ γὰρ ἄνθρωπος καὶ ὁ ἵππος, κατὰ μὲν τὸ γένος οὐ διαλύουσι, θνητὰ γὰρ ζῷα καὶ ἡμεῖς καὶ ἵπποι, ἀλλὰ τὸ λογικὸν πρὸς τοῦτο, διήκουσιν ἡμᾶς ἀπ' ἐκείνων. καὶ λογικοί ἐσμεν ἡμεῖς καὶ οἱ θεοί, ἀλλὰ τὸ θνητὸν πρὸς τοῦτο, διήκουσιν ἡμᾶς ἀπ' ἐκείνων. Προσεπεξεργαζόμενοι δὲ τὰς περὶ τῆς διαφορᾶς, μὴ τὸ τυχὸν φασὶ τῶν χωριζόντων τὰ ὑπὸ τὸ αὐτὸ γένος, εἶναι τὴν διαφοράν. ἀλλ' ὅτι μὲν εἰς τὸ εἶναι συμβάλλεται, καὶ εἰς τὸ τί ἦν εἶναι, καὶ ὁ τοῦ πράγματος ἐστὶ μέρος. οὐ γὰρ τὸ πεφυκέναι πλέον, διαφορά ἐστιν ἀνθρώπου, εἰ καὶ ἴδιον ἀνθρώπου. ἐποίμεν γὰρ ἂν τῶν ζῴων, τὰ μὲν πλέον πεφυκέναι, τὰ δὲ μή, χωρίζοντα τὸν ἄνθρωπον ἀπὸ τῶν ἄλλων. ἀλλὰ τὸ πεφυκέναι πλέον, οὐκ ἦν συμπληρωτικὸν τῆς οὐσίας. ἐδὲ μέρος αὐτῆς, ἀλλ' ὥσπερ ἀναίτιος μόνον αὐτῆς, διὰ τὸ μὴ εἶναι διαφορὰν, οἷαι αἱ ἐδοποιοὶ λέγονται διαφοραί. εἰσὶ γὰρ αἱ ἐδοποιοὶ διαφοραί, ὅσαι ἑτέρου εἴδους ποιοῦσι, καὶ ὅσαι τῷ τί ἦν εἶναι τοῦ πράγματος παραλαμβάνονται. καὶ περὶ μὲν διαφορᾶς, ἀρκεῖ τοσαῦτα.

Μὴ τὸ τυχὸν φασὶ τῶν χωριζόντων. ἔχω οὐχ ἡ τυ-

βιβρᾶται. σὴ τοῖς τεχνικοῖς, τὸ αὐάλογον. οἷον, ἐκ χαλκοῦ γίνεται ἀνδριὰς. οὐκοῦν ὁ χαλκὸς λέγεται ὕλη, ἀλλ' οὐ κυρίως, ἀναλόγως δέ, οὐ γὰρ ἀνάδεσις ὁ χαλκὸς: ἀλλ' ἐπειδὴ ὑπερέχει τῷ τεχνίτῃ, καὶ ὧν δέχεται τὸ τὰ ἀνδριάντος εἶδος, ὥσπερ καὶ ἡ κυρίως ὕλη, διὰ τοῦτο ὕλη λέγεται. καὶ τὸ σχῆμα δὲ εἶδος ἀνάλογον καλεῖται, ἐπειδὴ τυπεῖ τὸν χαλκόν. διόπερ γὰρ ὑπόκειται τοῖς φυσικοῖς μίαν τινὰ ὕλην, διὰ τοῦτο καὶ εἰς ἄλληλα μεταβάλλειν πάντα. ἀδύνατον δὲ ἦν εἰς ἄλληλα ἅπαντα μεταβάλλειν, εἰ μὴ μία τις καὶ κοινὴ ὕλη πᾶσιν ὑπέκειτο. ἔστω γὰρ καὶ τὰ χαλκὰ σκεύη δυνατὰ εἰς ἄλληλα μεταβάλλειν, κοινὴν ἔχοντα τὴν ὕλην: οἷον, ἐκ λέβητος, εἰς ἀνδριάντα. τὰ γὰρ μὴ ἔχοντα μίαν ὕλην, οὐ δυνατὰ μεταβάλλειν εἰς ἄλληλα, οὐ γὰρ ἂν ποτε γένοιτο ἐκ λέβητος τὸ ἀβάκιον. γίνεται δὲ ἐξ ἀέρος ὕδωρ, καὶ ἐξ ὕδατος ἀήρ, καὶ ἐξ ἀέρος πῦρ: τῷ μίαν ἔχειν τὴν ὑποκειμένην ὕλην. δηλονότι, δεξαμενὴν αὐτὴν ψυχρότητα καὶ ὑγρότητα, γίνεται ὕδωρ, θερμότητα δὲ καὶ ξηρότητα, γίνεται πῦρ, καὶ τἄλλα ὁμοίως. Πάντα οὖν τὰ φυσικὰ πράγματα ἐξ ὕλης εἰσὶ κυρίως καὶ εἴδους, ὥσπερ ἄνθρωπος, ἵππος, καὶ τἄλλα, τὰ δὲ τεχνικὰ, ἐξ ἀναλόγου μὲν τῇ ὕλῃ, οἷον, τῷ ξύλῳ, ἐξ ἀναλόγου δὲ τῷ εἴδει, τοῦ τοιοῦδε σχήματος. Φησὶν δὲ ὅτι τὸ μὲν γένος, ὕλης ἔχει λόγον, αἱ δὲ διαφοραὶ, εἴδους. ὥσπερ γὰρ κατὰ μὲν τὴν οὐσίαν οὐδὲν διαφέρει ἀλλήλων, οἷον, τὰ χαλκᾶ σκεύη, ἡ διαφορὰ κατὰ τὸ σχῆμα γίνεται, οὕτω καὶ κατὰ μὲν τὸ γένος καθὸ ζῶα ἐσμὲν, οὐδὲν διαφέρει ἄνθρωπος, ἵππος, κύων, καὶ τἄλλα, κατὰ δὲ τὰς διαφορὰς, διαφέρει. τὸ γὰρ ζῷον δεξάμενον τὸ λογικὸν καὶ τὸ θνητὸν, ποιεῖ τὸν ἄνθρωπον, τὸ δ' ἄλογον καὶ τὸ θνησὸν πάλιν δεξάμενον, ποιεῖ τὸν ἵππον. ὥστε ὕλη μὲν ἀναλογεῖ τὸ γένος,

παι τὰ σύναντία ἅμα: ἀλλ' ὡς ἀξιοῦσιν· ἐπειδὴ ὁ πορφύριος πλατωνικὸς ὢν ὁ τὰ αὐτῷ ἀρέσκοντα λέγων, εἰπὲ ὡς ἀξιοῦσιν οἱ πλατωνικοί· φυσιολογοῦντες γάρ, καλῶς οὕτω περισβύσουσιν, ὅτι τὰ καθόλου δυνάμει πρότερον ἔχει τὰ μερικά: καὶ οὕτως εἰς τὴν σύνεργειαν προκόπτει.

» Ὁρίζονται δὲ αὐτὰ καὶ ἄτομα, διαφορὰ ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἶδει, σὺ τῷ ὁποῖόν τί ἐστιν κατηγορούμενον· τὸ γὰρ λογικὸν καὶ τὸ θνητὸν, τοῦ ἀνθρώπου κατηγορούμενον, σὺ τῷ ὁποῖόν τί ἐστιν ἄνθρωπος λέγεται, ἀλλ' οὐκ σὺ τῷ τί ἐστι· τί μοί γάρ ἐστιν ὁ ἄνθρωπος δύνασθαι μείων ἡμῶν, οἰκεῖον ἐπεῖν ζῶον· ὁποῖον δὲ ζῶον πυθόμενοι μείων, ὅτι λογικὸν καὶ θνητὸν οἰκείως ἀποδώσομεν· Τῶν γὰρ πραγμάτων ἐξ ὕλης καὶ εἴδους συνεστώτων, ἃ ἀνάλογόν τι ὕλῃ καὶ εἴδει τὴν σύνθεσιν ἐχόντων, ὥσπερ ὁ ἀνδριὰς ἐξ ὕλης μὲν τοῦ χαλκοῦ, εἴδους δὲ τοῦ σχήματος· οὕτω καὶ ὁ ἄνθρωπος ὁ κοινός τε καὶ ἰδικὸς, ἐξ ὕλης μὲν, ἀνάλογα συνέστηκε τοῖς γένεσι: ἐκ μορφῆς δὲ, τῆς διαφορᾶς· τὸ δὲ ὅλον τοῦτο, ζῶον λογικὸν θνητὸν, ὁ ἄνθρωπος· ὡς ἐκεῖ καὶ ὁ ἀνδριάς.

Ἐνταῦθα πλείαν ὑπογραφὴν λέγει λαμβανομένην ἐκ τῆς τῶν φωνῶν διαιρέσεως τῆς λεγούσης, ὅτι τῶν φωνῶν αἱ μὲν, εἰσὶν ἄσημοι, αἱ δὲ, σημαντικαί. Τῶν γὰρ πραγμάτων ἐξ ὕλης καὶ εἴδους συνεστώτων· τὰ αἴτια νῦν ἀποδίδωσι, διὰ τί τὸ μὲν γένος, σὺ τῷ τί ἐστι κατηγορεῖσθαι, ἡ δὲ διαφορὰ, σὺ τῷ ὁποῖόν τί ἐστι· λέγει τοίνυν, ὅτι πάντα τὰ ὄντα, ἢ κυρίως ἐξ ὕλης καὶ εἴδους ὑπάρχει, ἢ ἀνάλογον ὕλῃ καὶ εἴδει τὴν σύνθεσιν ἔχουσι· πᾶσι μὲν οὖν τοῖς φυσικοῖς πράγμασιν ἐστὶ τὸ ὑποκείμενον, ὃ καλοῦσι κυρίως ὕλην, τὴν ἀκαλλῆ καὶ ἀνείδεον· ἔστι δὲ κυρίως εἶδος; τὸ κοσμοῦν αὐτὴν καὶ σὺ αὐτῇ γινόμενον· οὕτως μὲν οὖν ἡ κυρίως ὕλη, καὶ τὸ κυρίως εἶδος, σὺ τοῖς φυσικοῖς πράγμασι

γραμματοῦτο, οὐ πρὸς πλατωνικὰς συμβαλόμενον πραγματίας, ἀλλὰ πρὸς ἀριστοτελικὰς, διὰ τοῦτο τῇ τ πολιπατητικῶν ἐχρήσατο ὠφελίᾳ. Ἀλλ' ἐπειδὴ πορ ρωτέρω ἐπωμεν ὅτι ἀσώματοί εἰσιν αἱ πέντε φωναὶ ἀναπολίκτως, φέρε καὶ τοῦτο ἀποδείξωμεν. Καὶ πρῶ τον μὲν τὸ σῶμα οὐδέποτε ἐν μείζονι καὶ ἐλάττονι οὐσιώ τως θεωρεῖται, οἷον, ὡς ἐλέφαντος, καὶ μύρμηκος: αἱ δὲ πέντε φωναὶ, ὡσαύτως καὶ ἐν μείζονι καὶ ἐλάττονι. Ἔπει τα δὲ πᾶν σῶμα σώματι προσβέμενον, αὔξησιν ποιεῖται τοῦ συνεχομένου τὴν προσθήκην: τὸ δὲ γένος καὶ τὸ εἶδος καὶ παλιπὸς τῷ σωκράτει προσβέμενα, οὐδὲν προσβέβλη κεν. Ἄλλως. οὐδέποτε ταυτὸν σῶμα ἐν τῷ αὐτῷ καιρῷ ἐν πᾶσι θεωρεῖται. καὶ γὰρ ὅμοιον, ἀλλ' ἐν οὐ τὸ αὐτὸ, οἷον, ἃ ἐν τῷ πλάτωνος μηρῷ φανεὶν ὅσον ἐλέφαντος, οὐ ταυτὸν ἐστι καὶ ἐν τῷ τοῦ ὄρεσι, τὸ δὲ γένος καὶ τὸ εἶδος ἐν τῷ αὐτῷ καιρῷ ἐν πολλοῖς θεωρεῖται. Ἄλλως. οὐδέποτε τὰ σώματα μεριζόμενα τὸ ἐν εἶδος, ἢ τὸ ἐν πο σὸν φυλάττει, ἕως, ὅταν μερίζεται εἰς πολλὰ, οὐκοῦν τὰ μεριζόμενα, οὐ φυλάττουσι τὸ ἐν εἶδος, ἢ τὸ ἐν ποσὸν τοῦ πατρός, τὰ δὲ γένη καὶ τὰ εἴδη σώζουσι τὸ οἰκεῖον εἶδος μεριζόμενα εἰς σωκράτην, καὶ πλάτωνα, καὶ τοὺς λοιπούς. Ἄλλως τε δὲ, πᾶν σῶμα ἐξ ὕλης καὶ εἴδους σύγκειται, τὸ δὲ γένος καὶ εἶδος, οὐχ οὕτως, εἶδος γὰρ ἐξ εἴδους οὐ σύγ κειται πώποτε. ἀσώματοι ἄρα αἱ πέντε φωναί. Πάντα ταῦτα προκατεβαλλόμεθα. λοιπὸν, σαφὴς ἡ λέξις. αἰρή σωμεν ἐν αὐτῇ, καὶ εἴ που τι προσίπῃ, σαφηνίσωμεν.

n Τί γὰρ ζῷον ἔστε οὐδὲν τούτων ἐστί. τουτέστιν, ἀμέτοχον, ἀμοιρον κουσέον γὰρ τὸ, τοιούτων. ἐ γὰρ μὴ μετέχει λογι

b κῆς καὶ θνητοῦ τὸ ζῷον, πόθεν εἴχετο εἶδος ταῦτα δέξα σθαι. οὔτε γὰρ πᾶσα τὰς ἀπεικασίας ἔχει. ἐπεὶ ἔσον

ἔχοντος τὰς διαφοράς· οὐδὲν δὲ ἐστιν ἄλλο πρὸ παύτας· ἐκ ἄρα δυνάμει ἐστὶν αἱ διαφοραὶ ἐν τοῖς γένεσι· Πάλιν δὲ, πᾶν μὲν τὸ δυνάμει ὄν, ἀτελὲς ἐστι· τὸ δὲ ἐνεργείᾳ, τέλειον· ἐ σῶν τὰ μὲν εἴδη ἐνεργείᾳ ἔχει τὰς διαφορὰς, τὰ δὲ γένη δυνάμει, ἔσαι τὰ μὲν εἰδικώτατα, παύτων τελειότερα καὶ ἐντιμότερα, τὰ δὲ γενικώτατα, παύτων ἀτελέστερα, καὶ ἀτιμότερα, ὅπερ ἄτοπον· ἔσονται γὰρ τὰ αὐτὰ τελειότερα καὶ κρείττονα τῶν αὐτῶν· ἀνάγκη ἄρα τὰς διαφορὰς ἐν τοῖς γένεσιν ἐνεργείᾳ εἶναι· Ἆρα σῶν ἀπὸ βλητός ἐστι παντελῶς ὁ τῶν προτατικῶν λόγος; φαμὲν σῶν σὐδαμῶς· τριττῶν γὰρ ὄντων τῶν γενῶν ὡς πολλάκις ἔφαμεν, οἱ μὲν πλατωνικοὶ, πρὸς τῶν πρὸ τῶν πολλῶν ἔλεγον· ἐν γὰρ τοῖς πρὸ τῶν πολλῶν γένεσιν, ἐνεργείᾳ ὑπάρχουσιν αἱ διαφοραί· οἱ γὰρ λόγοι παύτων ἐκεῖ εἰσὶν ἐνεργείᾳ, οἱ δὲ προτατικοὶ, πρὸς τῶν ἐν τοῖς πολλοῖς·

Ἴσέον γὰρ ὅτι ἡ φύσις ἀπὸ τῶν καθολικωτέρων ἐπὶ τὰ μερικώτερα ὁδύει· καὶ τὰ μερικὰ δυνάμει ἐν τοῖς καθολικωτέροις προϋπέρκειται, οἷον ἐκ τοῦ καταβληθέντος σπέρματος δημιουργεῖ πρῶτον τὸ σαρκίον, ὡς φασιν οἱ ἰατροὶ ἐν τῇ μήτρᾳ, ὅπερ σῶμα ἐστί, τὸ δὲ σῶμα, καθολικόν· ἀλλὰ τοῦτο ὡς μὲν σῶμα, ἐνεργείᾳ ἐστὶν, ὡς δὲ ἔμψυχον, δυνάμει, οὔπω γάρ ἐστιν ἐνεργείᾳ ἔμψυχον· ὅταν δὲ τραφὲν καὶ αὐξηθὲν ψυχωθῇ, ἐνεργείᾳ μὲν λέγεται ἔμψυχον, δυνάμει δὲ ζῶον, μήπω τυχὸν αἰσθήσεως καὶ κινήσεως· ὅσον δὲ ἤδη τούτων μετάσχῃ, ἐνεργείᾳ μὲν ζῶον, δυνάμει δὲ λογικόν· ὅταν δὲ ἐκπυθῇ καὶ λόγου μετάσχῃ ἐνεργείᾳ μὲν γίνεται ζῶον λογικὸν, δυνάμει δὲ γραμματικόν· ἰδοὺ σῶν ἐν τοῖς γένεσι τῶν ἐν τοῖς πολλοῖς, δυνάμει θεωροῦνται αἱ διαφοραί· καὶ καλῶς οἱ φυσικοὶ οὕτω λέγουσιν· ὅσον ὁ πορφύριος ἐπεδὴ προείθετο ἐκθέσθαι τὸ σύγ-

πνι ἀσωμάτω, ἀσώματον γὰρ τὸ γένος. δυνάσται δὲ σὺ ἀσωμάτω τὰ ἐναντία εἶναι. διὰ τοῦτο γὰρ ἐν ὑποκειμένω τινὶ σώματι τὰ ἐναντία οὐ δύναται εἶναι ἅμα, διὰ τὸ βούλεσθαι ἀμφότερα μετέχειν τοῦ ὑποκειμένου. μερισθὲν δὲ ὂν τὸ σῶμα καθ' αὑτὸ, τὰ φθαρτικὰ ἀλλήλων οὐ δύναται διέξεσθαι. ὧν δὲ τῶν ἀσωμάτων, οὐκ ἔστι τοῦτο. ἀμέλει καὶ ἡ φύσις ἔχει τοὺς λόγους πάντων τῶν ἐναντίων, καὶ ὄφις ἐστὶ, δίον, ὀφθαλμὸς ἅμα προβάλλεται τὸν τοῦ λευκοῦ καὶ τοὺς μέλανος λόγους, καὶ ἡ ψυχὴ ἅμα καὶ κατὰ ταυτὸν, τὸν τῶν ἐναντίων ἔχει λόγον, ἀγαθοῦ καὶ κακοῦ, ψυχροῦ καὶ θερμοῦ, ἕνεκεν τῶν ἐναντίων μία ἐστὶν ὑπόληψις. ὥς τε οὐδὲν ἄτοπον συμβαίνει τῷ λόγῳ, τῷ λέγοντι, τὰς διαφορὰς ἐνεργείᾳ ἐν τοῖς γένεσιν εἶναι. ὡσαύτως καὶ ἐν τῷ ἀβακίῳ, σωματικῶς μὲν καὶ κατὰ ταυτὸν, καὶ τρίγωνον, καὶ τετράγωνον, καὶ στρογγύλον ποιῆσαι οὐ δυνάμεθα, ἐπειδὴ ὑπ' ἀλλήλων συγχέονται οἱ τύποι, ἐν δὲ τῇ ψυχῇ ἔχομεν ταῦτα πάντα ἀσυγχύτως. θέσει δὲ ἀσυγχύτως προβαλλόμεθα αὐτὰ: καὶ δόκιμον καὶ τὸ πρῶτον θεώρημα, καὶ τὸ δεύτερον, καὶ τὸ τρίτον, καὶ ἐπὶ στρογγύλου, καὶ ἐπὶ τετράγωνου, καὶ ἐπὶ τριγώνου. ὥς τε ὧν ἀσωμάτων μὲ δυνατὸν ἅμα τὰ ἐναντία εἶναι ἐνεργείᾳ. Ἄλλως τε δὲ, ἡ δυνάμει ἐστὶν αἱ διαφοραὶ ἐν τοῖς γένεσι, τί ἐστὶ τὸ ποιῆσαν αὐτὰς συνεργείᾳ τοῖς εἴδεσι; πᾶν γὰρ τὸ δυνάμει ὂν, ἄγεται εἰς ἐνέργειαν διά τινος ἐνεργείᾳ ὄντος τοιαύτης οὔσης. τὸ γὰρ ὕδωρ τὸ ψυχρὸν δυνάμει ὂν θερμὸν, γίνεται ἐνεργείᾳ θερμὸν, διὰ τοῦ πυρὸς ἐνεργείᾳ ὄντος θερμοῦ, καὶ τὸ παιδίον δυνάμει ὂν γραμματικὸν, ἐνεργείᾳ γίνεται γραμματικὸν, διὰ τοῦ ὄντος ἐνεργείᾳ γραμματικοῦ. εἰσὶν δυνάμει ἐστὶν ἐν τοῖς γένεσιν αἱ διαφοραὶ, προάγονται δὲ εἰς ἐνέργειαν, δεήσονται ἄλλου τινὸς ἐνεργείᾳ

τὰ ἐναντία ἐν τῷ αὐτῷ παρεῖναι ἅμα. εἰ μὲν γὰρ τὰ δύο ἐκ
χει δυνάμει, οὐκ ἂν ἦν ἐνέργεια ἑκάτερον μεταβέβλητο,
ἀλλ' ἐπειδὴ τὰ ἐναντία ἔχει δυνάμει, διὰ τοῦτο εἰς ἑκάτε
ρα παραβάλλει, καὶ μεταβάλλεται παρὰ μέρος. οὕτως θεῖ
φησι καὶ τὰ γένη ἔχειν τὰς ἐναντίας διαφορὰς δυνάμει·
καὶ οὔτε ἐκ τοῦ μὴ δυνάμει μὴ δυνάμεως ὄντος γίνεται, οὔτε τὰς
ἐναντία ἐν τῷ αὐτῷ εἶναι ἐνέργειᾳ. ταύτῃ τῇ λύσει κέχρηται
τινες οἱ ἐκ τοῦ πλατάνου, ἣν καὶ ὁ πορφύριος ἀπέδωκεν. ἐ
πειδὴ πρὸς ἃ δὴ εἴρηται χρησιμεύουσι πρὸς τὰς ἀριστοτέλους
κατηγορίας γράφει τὸ βιβλίον. Ἰστέον δὲ ὅτι οἱ πλατωνι
κοὶ ἐναντιοῦνται τῇ τοιαύτῃ λύσει ταύτῃ· καὶ γὰρ ἐνέργειᾳ εἶναι
λέγουσι τὰς διαφορὰς ἐν τοῖς γένεσι· καὶ φασὶν, ὅτι οὐ
δεῖ φοβεῖσθαι ἐνέργειᾳ ὑποθέσθαι ἐν τοῖς γένεσι, τὸ λογι
κὸν, καὶ ἄλογον, τὸ θνητὸν καὶ ἀθάνατον, κέχρηνται δὲ εἰς
ἀπόδειξιν τούτου, τοιούτοις λόγοις. Πρῶτον μὲν γὰρ φα
σὶν, ὅτι οὐκ ἔστιν ἐναντίον τὸ λογικὸν τῷ ἀλόγῳ, οὐδὲ τὸ θνη
τὸν τῷ ἀθανάτῳ· τὰ γὰρ ἐναντία φθείρει ἄλληλα, ταῦτα
δὲ οὐ μόνον φθαρτικά ἐστιν ἀλλήλων, ἀλλὰ καὶ ὑποστατικά·
τὸ γὰρ λογικὸν καὶ τὸ ἀθάνατον, ὑποστατικά ἐστι τοῦ θνητοῦ
καὶ τοῦ ἀλόγου, ὁ γὰρ θεὸς ἀθάνατος ὢν καὶ λογικὸς, ὑφί
στησι τὸ θνητὸν καὶ ἄλογον, καὶ ὁ ἄνθρωπος λογικὸς ὢν, κι
νδυνεύων τοῦ ἀλόγου γίνεται, καὶ σωτὴρ καὶ οἱ ἄγγελοι ἀθά
νατοι ὄντες, τὸν θνητὸν εἰσι κηδεμόνες καὶ φύλακες. ὥστε
οὖν ἐναντία τὸ λογικὸν καὶ τὸ ἄλογον, οὐ δὲ τὸ θνητὸν καὶ τὸ
ἀθάνατον. εἰ δὲ μὴ ἐναντία, οὐκ ἀδύνατον ἅμα ταῦτα εἶ
ναι ἐν τῷ γένει. ἐπεὶ καὶ ἄλογοι δυνάμεις, θυμὸς φημί, καὶ
ἐπιθυμία, καὶ αἴσθησις, καὶ ὁ λογικὸν ζῶον ἅμα ἐν ἐμοὶ ζῶον,
τῷ ἀνθρώπῳ, θεωρεῖται. Ἔτι δὲ φασιν, εἰ καὶ ἐναν
τία ἐστὶν, οὐδὲν ἄτοπον εἶναι αὐτὰ ἐν τῷ γένει τῷ αὐτῷ ἐνέρ
γειᾳ, ἐπειδὴ οὐχ ὡς ἐν ὑποκειμένῳ ἐστὶ σώματι, ἀλλ' ἐν

λύεται τὴν ἀπορίαν πολυπαθητικῶς. λέγει γὰρ ὁ πορφύριος, ὅτι τὰ ἐναντία ἐν τῷ αὐτῷ κατὰ τὸν αὐτὸν χρόνον, ἐνέργεια μὲν εἶναι οὐ δύναται, δυνάμει δὲ δύναται εἶναι. ἵνα δὲ σαφὲς γένηται τὸ λεγόμενον, ἐπώμεν οὕτως. ἄλλο ἐστὶ τὸ δυνάμει εἶναί τι, καὶ ἄλλο τὸ ἐνέργεια. Δυνάμει μὲν γάρ λέγεται, τὸ ἀτελές, καὶ μὴ προσχθὲν εἰς ἐνέργειαν, δυνάμενον μέντοι καὶ ὡσπεδιόως ἔχον ἐνεχθῆναι ὡσὶ τὸ ἐνέργεια. οἷον, τὸ παιδίον, δυνάμει μὲν γραμματικόν ἐστι, δύναται γὰρ γενέσθαι γραμματικόν, καὶ τὸ ψυχρὸν ὕδωρ, δυνάμει θερμὸν, δύναται γὰρ γενέσθαι θερμόν. τοῦτο οὖν ἐστὶ τὸ δυνάμει. Ἐνέργεια δὲ λέγεται γραμματικὸς, ὁ ἤδη κατὰ τὴν γραμματικὴν ὡσημίλω κατὰ τὴν ἕξιν τελειωθείς, καὶ παραδοὺς τὰ γραμματικοὺς λόγους. καὶ τὸ μὲν ψυχρὸν ὕδωρ, δυνάμει λέγεται εἶναι θερμόν, τὸ δὲ ἤδη θερμανθὲν, ἐνέργεια θερμόν. Φησὶν οὖν ὅτι τὰ ἐναντία, ἤτοι τὸ ψυχρὸν, ἐνέργεια μὲν, ἅμα πυὶ παρεῖναι ἀδύνατον, δυνάμει δὲ, δυνατόν. τὸ γὰρ χλιαρὸν ὕδωρ, οὔτε θερμὸν, οὔτε ψυχρόν ἐστιν ἐνέργεια, δυνάμει δὲ ἐστιν ἀμφότερα. καὶ τὸ βρέφος δυνάμει καὶ σοφὸν καὶ ἄφρονα ἔχει, ἐν καινίαις, καὶ ἡ ὕλη δυνάμει πάντα ἔχει τὰ ἐναντία. εἰ δὲ καὶ τὸ γένος ὕλης λόγον ἐπέχει, ὡς ἐξῆς φησί, δῆλον ὅτι ἕξει ἐν ἑαυτῷ δυνάμει πάσας τὰς ἐναντίας διαφοράς.

Καὶ ἄλλως δὲ, δυνατὸν ἐν ἑνὶ τὰ ἐναντία εἶναι. εἰ μὲν τὸ ἕτερον, ἐνέργεια ἔχει, τὸ δὲ λοιπὸν, δυνάμει. τὸ γὰρ ἐνέργεια ψυχρὸν, δυνάμει ἐστὶ θερμὸν, εἰ πεφύκοι μεταβάλλεσθαι εἰς τὸ θερμόν. τοῦτο δὲ ἦπον, ἐπειδὴ ἐστὶ πυὰ θατέρου μόνου τῶν ἀντικειμένων δεκτικά. ὁ γὰρ κρύσταλλος ψυχρὸς ὤν, οὐκ ἂν ποτὲ θερμανθείη, δὲ τὸ πῦρ τὴν ἐναντίαν ψύξιν ὡσδέξοιτ' ἄν. ὁ ἀὴρ μὲν καὶ τὸ ὕδωρ παρὰ μέρος ἑκάτερον, τῶν ἐναντίων ἐστὶ δεκτικά. δυνάμει γὰρ θερμὸς

ἁπλῶν πόσα ποιοῦσι σημαινομένου παρὰ τοῖς φιλοσόφοις ὁ λόγος, μάλιστα βούλεται ταύτην τὴν ὑπογραφὴν ἀποδοῦναι· φησὶν οὖν ὅτι διαφορά ἐστιν, ἣ πρὸς πολλὰ τὸ εἶδος τοῦ γένους· ὁ γὰρ ἄνθρωπος τῷ λογικῷ καὶ τῷ θνητῷ πρός πολλὰ τοῦ ζώου. Ἀπορίαν δέ τινα ἀπορεῖ ὁ πορφύριος ἐκ τοῦ ὁρισμοῦ τούτου, καὶ ὠφέλιμα ταύτην· προλαμβάνει δὲ τῆς ἀπορίας δύο σαφῆ τινὰ ἀξιώματα, ἃ οὕτω καλοῦσι τὰ ὑπὸ τῶν πολεμικῶν, ὡς οἰκοθεν τὸ ἀξιόπιστον ἔχοντα· εἰσὶ δὲ τὰ ἀξιώματα, ταῦτα· Πρῶτον μέν, ὅτι οὐδὲν γίνεται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος· οἷον, τὸ ἀβάκιον, γίνεται ἐκ τοῦ ξύλου, ὃ πῇ μὲν οὐκ ὑπῆρχε, ξύλον γὰρ ἦν, πῇ δὲ μὴ ὄν, οὔπω γὰρ ἦν ἀβάκιον, ἀλλὰ γὰρ ἦν, ἐκ ἔχρηζε τέκτονος τοῦ ποιοῦντος· καὶ οἱ λίθοι πῇ μέν εἰσιν ὄντες, ὡς λίθοι, πῇ δὲ οὐκ ὄντες, ὅτι οὔπω οἶκος· ἐκ δὲ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, πῶς ἂν τι γένοιτο; Δεύτερον δέ, ὅτι τὰ σύμπαντα ἐν τῷ αὐτῷ ὑποκειμένῳ κατὰ τὸν αὐτὸν χρόνον ἅμα οὐκ ἐνδέχεται εἶναι· ἀναιρεῖται γὰρ ἀλλήλων τὰ σύμπαντα εἰσί· τούτων προλεχθέντων, ἡ ἀπορία προβαίνει τοῦτον τὸν τρόπον· Ἀνάγκη τὰς διαφορὰς, ἢ ἐκ τοῦ γένους τοῖς εἴδεσιν ὑπογίνεσθαι προϋπαρχούσας ἐν αὐτῷ, ἢ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος· ἑκάτερον δὲ τούτων, ἄτοπον. εἰ γὰρ εἰσὶν ἐν τοῖς γένεσιν αἱ διαφοραὶ σώματα οὖσαι, ἔσονται τὰ σύμπαντα ἐν τῷ αὐτῷ καὶ τὸν αὐτὸν χρόνον, τὸ θνητὸν καὶ τὸ ἀθάνατον, τὸ λογικὸν καὶ τὸ ἄλογον· ὅπερ ἄτοπον· εἰ δὲ μὴ ὄντα αἱ διαφοραὶ ἐν τοῖς γένεσι, πόθεν γίνονται ἐν τοῖς εἴδεσιν; ἔστι γὰρ τι γινόμενον ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, ὅπερ ἄτοπον· οὐ γὰρ ἐξ ἄλλου τινὸς δώσουσιν εἶναι, ἐπεὶ οὐ δέ ἐστι μεταξὺ γένους καὶ εἴδους ἄλλο, εἰ μὴ αἱ διαφοραί· δῆλον οὖν ὅτι ἀπορώτατος ὁ λόγος· Ἀπορήσας τοίνυν, ὡς

περφύρης τὸ λογον καὶ τὸ ἀθανάτων ὡς ἀμφιβαλλόμενα, ἔτι ἀσί τισιν οὐσίαι, ἔστι θυ. ἀσὶ γὰρ ὡς ἔπον, τὰ ἄλογα θαμίστια, τὰ μέσα τὰ ἔχειν ἐν τῷ παντὶ ἐπέχοντα, καὶ ἀφωρισμένα πρὸς τὸ τὰς ἀξίας κολάζειν ψυχὰς, ἅπερ ἂν πόνων μὲν, ἀθανάτους, ὑπὸ πυρὸς δ' θνητὰς ἔχειν νομίσαι.

» Καὶ τούτων γε μάλιστα χρὴ ἐς τὰς διαιρέσις τὴν γενῶν, καὶ ἐς οὐ ὁρισμοὺς τὴν ἀδιαφόρων, ἀλλ' οὐ τῶν κατὰ συμβεβηκὸς ἀχωρίστων, οὐδ' ἔτι μᾶλλον τῶν χωριστῶν.

Σκόπει πῶς ὦ δὲ ἐν τῷ λέγειν ἐς οὐ ὁρισμοὺς λαμβάνομεν αἱ διαφοραὶ αὖ, δῆλοῖ ὅτι καὶ φωναὶ ὧν τ ὁρισμῶν τ συμβεβηκότων οὐσιώδεις ἐσίν. οἱ γὰρ ὅροι, ἐξ οὐσιωδῶν φωνῶν σύγκειν. οἷον, λευκόν ἐστι χρῶμα, διακριτικὸν ὄψεως. τὸ δὲ, μάλιστα, προσέθηκεν, ὅτι πολλάκις διὰ τ ἀέρα πίνω ἀδήνεια ἀπορῶντες τοιούτων διαφορῶν, παραλαμβάνομεν ἐκ τ κατὰ συμβεβηκὸς, οἷον, ὧν τοῦ κόρακος αὐτὶ διαφορῶν, τὸ μέλαν λαμβάνομεν καὶ ὧν τὸ κύκνου τὸ λευκόν. ὡς ὅταν ἵππον ἡριζόμενοι, ἅπαμεν ζῶον ὄνειαι ἄλογον χρεμετιστικόν. τὸ δ' ἴδιον ἐπουσιώδες ὄν, αὐτὸ διαφορᾶς οὐσιώδους παραλαμβάνομεν, διὰ τὸ μὴ δύνασθαι οὐσιώδη διαφορὰν ἵππε φέρειν ἐπεὶν, καὶ ὄνου οὖρεῖν.

» Ἃ δὲ καὶ ὁριζόμενοι, φασὶ διαφορά ἐσιν, ἢ πολιασθὲν τὸ ἔθος τὸ γένους. ὁ γὰρ ἄνθρωπος πλέον ἔχει τοῦ ζῴου, τὸ λογικὸν, καὶ τὸ θνητὸν. τὸ γὰρ ζῷον ὅτι οὐδὲν τούτων ἐσὶν, ἐπεὶ πῶς αὐτὰ ἔδη ἔχοιν τὰς διαφορὰς; οὔτε γὰρ πάσας τὰς αὐτικειμένας ἔχει. ἐπὴ, τὸ αὐτὸ ἅμα ἕξει τὰ αὐτικείμενα, ἀλλ' ὡς ἀξιοῦσι, δυνάμει μὲν πάσας ἔχει τὰς ὑφ' αὑτὸ τὸ γένος διαφορὰς, ἐνεργείᾳ δὲ, οὐδὲ μίαν. καὶ οὔτως οὔτε ἐξ οὐκ ὄντων τί γίνεται, οὔτε τὰ αὐτικείμενα ἅμα πάρεστὸ αὐτὸ ἔσαι.

Ἀπαριθμησάμενος τὰ σημαινόμενα τ διαφορᾶς, καὶ

λογικὸν εἶναι πάντως. Ἐλθωμεν τοίνυν καὶ ὧν τιὼ οὐσίαν, καὶ τὰ αὐτὰ ὑρήσομεν. καὶ γὰρ καὶ σὺ ταῦθα δύο οὐσῶν ὑποθέσεων, ἐμψύχου φημὶ καὶ ἀψύχου, αἰσθητικοῦ καὶ ἀναισθήτου, καὶ τούτων συμπλεκομένων, τρεῖς μόναι σωίστανται συζυγίαι, αἱ δὲ λοιπαὶ τρεῖς, ἀσύστατοι εἰσί. τὸ μὲν γὰρ ἔμψυχον καὶ αἰσθητικὸν, ἐστὶ τὸ ζῶον. τὸ δὲ ἔμψυχον καὶ ἀναίσθητον, τὸ φυτόν. τὸ δὲ ἄψυχον καὶ ἀναίσθητον, ὁ λίθος. ἄψυχον δὲ καὶ αἰσθητικὸν, οὐδὲν ἔστιν. ὃ γὰρ ἂν ἔχει αἴσθησιν, πολλῷ μᾶλλον τιὼ φυσικὴν ἔχει ψυχιώ. ὅπου γὰρ φυσικὴ, οὐ πάντως καὶ αἰσθητική. ὅπου δὲ αἰσθητικὴ, ἐκεῖ πάντως καὶ φυσική. ἀλλ' αὖτοί γε διαιρετικαὶ διαφορὰι τῶν γενῶν. ὥσπερ γάρ ἐστι πνὰ μόνως εἶδη, πνὰ δὲ καὶ γένη καὶ εἴδη, οὕτω καὶ ὧν τῶν διαφορῶν. τῶν γὰρ εἰδοποιῶν διαφορῶν, αἱ μὲν εἰσι μόνως διαιρετικαὶ, αἱ τῶν γενικωτάτων, αἱ δὲ, μόνως συστατικαὶ, αἱ τῶν εἰδικωτάτων, αἱ δὲ, συστατικαί τε καὶ διαιρετικαὶ, αἱ τῶν μεσηλίων. Αἱ μὲν γὰρ τῆς οὐσίας διαφορὰι, τὸ σῶμα φημὶ καὶ τὸ ἀσώματον, διαιρετικαὶ μόνως τῆς οὐσίας, οὐδαμῶς δὲ συστατικαί. αἱ δὲ τοῦ ἀνθρώπου διαφοραὶ, οἷον, τὸ λογικὸν καὶ τὸ θνητὸν, μόνως συστατικαὶ τοῦ ἀνθρώπου. αἱ δὲ τῶν μέσων, οἷον, αἱ τοῦ ζώου, τὸ θνητὸν καὶ ἀθάνατον, τὸ λογικὸν καὶ τὸ ἄλογον, συστατικαὶ καὶ διαιρετικαὶ, διότι ἔχουσί πως πρὸ αὐτῶν ἐπαναβεβηκός. αἱ μὲν γὰρ ἐναντίαι, διαιρετικαὶ τοῦ ζώου, ὅτι αὗται διαιροῦσι εἰς ἕτερα εἴδη. οἷον, τὸ θνητὸν καὶ ἀθάνατον, εἰς ταῦτα γὰρ διαιρεῖται τὸ ζῶον: καὶ τὸ λογικὸν, καὶ τὸ ἄλογον ὁμοίως. αἱ δὲ ὑπάλληλοι, τῶν εἰδῶν εἰσί συστατικαί. λογικὸν μὲν γὰρ καὶ θνητὸν, ἀνθρώπου συστατικόν. λογικὸν δὲ καὶ ἀθάνατον, ἀγγέλου. ἄλογον δὲ καὶ θνητὸν, ἵππου. αἱ δὲ τοῦ ἀλόγου καὶ τοῦ θνητοῦ, τῶν ἀλόγων ζώων. παρέλιπε δὲ ὁ

Υ πέχετο λογικῶτερως ὁ πορφύριος πρὸς τὴν πρόκει-
μένων διδάσκειν. Βούλεται τοίνυν ἐκ τῶν διαφορῶν καὶ
ταῦθα διδάξαι τινὰ συμβαλλόμενα πρὸς τὸν διαιρετικὸν
καὶ ὁριστικὸν μέθοδον. Φησὶν οὖν ὅτι, τῶν εἰδοποιῶν διαφο-
ρῶν, αἱ μὲν, εἰσὶ συστατικαὶ, αἱ δὲ, διαιρετικαὶ, οὐκ ἄλλαι καὶ
ἄλλαι, ἀλλ' αἱ αὐταί. πῆ μὲν γὰρ γίνονται διαιρετικαὶ, πῆ
δὲ συστατικαὶ, ἄλλως καὶ ἄλλως παραλαμβανόμεναι. τὸ
γὰρ λογικὸν καὶ τὸ ἄλογον, τὸ θνητὸν καὶ τὸ ἀθάνατον, τοῦ
ζώου εἰσὶ διαφοραί. καὶ εἰσὶν αὗται διαιρετικαί. τὸ γὰρ ζῶ-
ον, εἰς ταύτας διαιρεῖται. ἐὰν δὲ αἱ δυνάμεναι συμπλα-
κῆναι, ἅμα ληφθῶσιν, οἷον, τὸ λογικὸν καὶ τὸ θνητὸν, γίνον-
ται συστατικαὶ τοῦ ἀνθρώπου διαφοραί. σωιζῶσι γὰρ καὶ
συμπληροῦσιν αὐτοῦ τὴν φύσιν. Δῆλον οὖν ὅτι αἱ μὲν
διαιρετικαὶ διαφοραὶ χρησιμεύουσι πρὸς τὴν διαιρετικὴν
μέθοδον, ἅπερ κατὰ ταύτην γίνονται αἱ τῶν γενῶν εἰς τὰ εἴ-
δη διαιρέσεις, αἱ δὲ συστατικαὶ, εἰς τὴν ὁριστικὴν, ἅπερ οἱ ὁρι-
σμοὶ ἐκ γενῶν εἰσὶ καὶ τῶν τοιούτων διαφορῶν. Ἰσέον
δὲ, ὅτι σωτηρέμεναι αὗται ποιοῦσι τὰ σαρασ συζυγίας,
ὧν αἱ μὲν τρεῖς, σωίζονται, ἡ δὲ μία, ἀσύστατος ἐστιν. οἷον,
ἔστω λογικὸν καὶ ἄλογον, θνητὸν καὶ ἀθάνατον. ἰδοὺ τοί-
νυν λογικὸν καὶ θνητὸν σωίζεται, ἔστι γὰρ ὁ ἄνθρωπος. λο-
γικὸν, καὶ ἀθάνατον, ὁ θεός. ἄλογον δὲ καὶ θνητὸν, ὁ ἵπ-
πος. οὐκέτι δέ ἐστιν ἄλογον καὶ ἀθάνατον. ζητεῖται γὰρ
πρὸς τῆς λοιπῆς συζυγίας, τῆς τοῦ ἀλόγου φημὶ καὶ τοῦ ἀ-
θανάτου, πότερον σωίζηκε καὶ ἔστι τὸ ἄλογον καὶ ἀθάνατον,
οἷόν τι δοκῆ καὶ πρὸς τῆς σκύλλης ὁ ποιητὴς λέγειν. Ἀλ-
» λ' ἀθάνατον κακόν ἐστιν, ἠοῦ. οἱ μὲν γὰρ φασιν εἶναί τι
δαιμονίων ἀλόγων γένος ἀθάνατον. ὅπερ δὴ μέσον ἐπέ-
χειν φασὶ τάξιν, οὓς καὶ ἀποτρεπόμεθα. οἱ δὲ φασι καὶ
τὸ τοιοῦτον γένος θνητὸν εἶναι. ὃ γὰρ μὴ ἀθάνατον, καὶ

» ἐστιν ὁ ἄνθρωπος, ποτὲ δὲ ἵππον· ἢ κεχρῶσθαί πως τοῦ
» πέπλου, λευκὸν ἢ μέλαν εἶναι ὑπονοεῖται καὶ αἰσθάνεται· ἐπὶ γὰρ
» ἄλλο ἄλλου λευκότερον, καὶ μελανότερον, καὶ σιμότερον,
» καὶ γρυπότερον.

» Τριῶν οὖν ἁπλῶν τῆς διαφορᾶς θεωρουμένων, καὶ τῶν
» μὲν, οὐσιῶν χωρισῶν, τῶν δὲ, ἀχωρίστων, καὶ πάλιν τῶν ἀ-
» χωρίστων, τῶν μὲν ὄντων καθ' αὑτὸ, τῶν δὲ, κατὰ συμβε-
» βηκός, καὶ πάλιν τῶν καθ' αὑτὸ διαφορῶν αἱ μὲν εἰσι καθ'
» ἃς διαιροῦμεν τὰ γένη εἰς τὰ εἴδη, αἱ δὲ καθ' ἃς τὰ διαι-
» ρέντα ἁπλοποιοῦνται. οἷον τῶν καθ' αὑτὸ διαφορῶν πασῶν
» τῶν τοιούτων τοῦ ζώου οὐσῶν, ἐμψύχου τε καὶ ἀναπτικοῦ,
» λογικοῦ τε καὶ ἀλόγου, θνητοῦ τε καὶ ἀθανάτου, ἡ μὲν τοῦ
» ἐμψύχου καὶ ἀναπτικοῦ διαφορὰ συστατικὴ ἐστὶ τῆς τοῦ ζῴ-
» ου οὐσίας, ἔστι γὰρ τὸ ζῷον, οὐσία ἔμψυχος ἀναπτική· ἡ δὲ
» τοῦ θνητοῦ καὶ ἀθανάτου διαφορὰ, καὶ ἡ τοῦ λογικοῦ τε καὶ
» ἀλόγου, διαιρετικαί εἰσι τοῦ ζῴου διαφοραί, διαιροῦσι γὰρ
» τὰ γένη εἰς τὰ εἴδη διαιρούμενα· ἀλλ' αὗται αἱ διαιρετι-
» καὶ διαφοραὶ τῶν ὑλῶν, συμπληρωτικαὶ γίνονται καὶ συ-
» στατικαὶ τῶν εἰδῶν· τίμενται γὰρ τὸ ζῷον τῇ τε τοῦ λογικοῦ
» καὶ τῇ τοῦ ἀλόγου διαφορᾷ, καὶ πάλιν τῇ τε τοῦ θνητοῦ καὶ
» τοῦ ἀθανάτου διαφορᾷ, ἀλλ' αἱ μὲν τοῦ λογικοῦ καὶ τοῦ
» θνητοῦ διαφοραὶ, συνίστανται γίνονται τοῦ ἀνθρώπου, αἱ δὲ
» τοῦ λογικοῦ καὶ ἀθανάτου, τοῦ θεοῦ, αἱ δὲ τοῦ ἀλόγου, θνητοῦ
» καὶ τῶν ἀλόγων ζῴων· οὕτω δὲ καὶ τῆς ἀνωτάτω οὐσίας
» διαιρετικῶν οὐσῶν, τῆς τε ἐμψύχου καὶ ἀψύχου διαφο-
» ρᾶς, καὶ τῆς ἀναπτικῆς τε καὶ ἀναισθήτου, ἡ μὲν ἐμψυ-
» χος καὶ ἀναπτικὴ προσληφθεῖσα τῇ οὐσίᾳ, ἀπετέλεσαν
» τὸ ζῷον, ἡ δὲ ἔμψυχος, καὶ ἀναίσθητος, ἀπετέλεσαν τὸ
» φυτόν· ἐπεὶ οὖν αἱ αὐταὶ πως μὲν ληφθεῖσαι γίνονται συ-
» στατικαὶ, πως δὲ, διαιρετικαὶ, ἁπλοποιοὶ πᾶσαι κέκληνται·

Τ' πεχετο

ὁμοίως τὸ ζῶον μᾶλλον ἐν ἀνθρώπῳ, ἢ ἐν σωκράτει. ἡ γὰρ μὲν ἀμέσως ἡ οὐσία τῷ σωκράτει, ἀλλὰ διὰ μέσου τοῦ ζῴου, καὶ τούτου πάλιν διὰ μέσου τοῦ ἀνθρώπου τῷ φοιτᾷ, πρόδηλον ὅτι, ὡς τὰ πρώτως καὶ ἀμέσως πρὸς μετέχοντα τῶν διαφόρων καὶ διὰ μέσου μετεχόντων, μᾶλλον μετέχεται τὸ ἄνθρωπον, ὡς ἀμέσως κατὰ πλάτος οὐκ ἔχον τὸ μᾶλλον καὶ τὸ ἧττον, ἀλλὰ κατὰ βάθος ἔχον. ἡ γὰρ ἀνθρωπότης κατὰ πλάτος ἔχουσα τὸ μᾶλλον καὶ τὸ ἧττον, οὐκ ἂν οὖσα αὐτὴ ἀπόστασις ἦν αὐτὴ ἀπὸ τοῦ γένους, τοῦ λογικοῦ φησι, καὶ τοῦ ἀλόγου, τοῦ τε θνητοῦ, καὶ τοῦ ἀθανάτου.

» Αἱ δὲ κατὰ συμβεβηκὸς καὶ ἀχώριστοι οὖσιν, ἐπίτασιν
» καὶ ἄνεσιν λαμβάνουσιν. οὔτε γὰρ τὸ γένος μᾶλλον καὶ
» ἧττον κατηγορεῖται οὐκ ἂν εἴη γένος, οὔτε αὖ τοῦ γένους διαφορὰ, καθάς διαιρεῖται τὸ γένος εἰς τὰ εἴδη, αὗται μὲν γὰρ ἴσην αὐτὴν ἑκάστου λόγον συμπληροῦσαι. τὸ δὲ εἶναι ἑκάστῳ καὶ τὸ αὐτὸ, οὔτε ἄνεσιν οὔτε ἐπίτασιν ἐπιδέχεται. τὸ δὲ γρυπὸν ἢ σιμὸν εἶναι ἢ κεχρῶσθαί πως, καὶ ἐπιδέχεται, καὶ ἀνίεται.

Ἐπίτασιν καὶ ἄνεσιν λαμβάνουσιν, αὐτὶ τοῦ, ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον. ταῦτα δὲ τὰ ὀνόματα ἀπὸ μεταφορᾶς τῶν χορδῶν εἴληπται. ἐκεῖ γὰρ ἡ μὲν ἀποτεινομένη, σφοδρὸν ἀποτελεῖ τὸν φθόγγον, ἡ δὲ ἀνειμένη, ἐλάττονα. οὕτως οὖν οἱ φιλόσοφοι ἐπίτασιν μὲν λέγουσι τὴν σφοδρὰν αὐτελκυσιν τοῦ πράγματος, ἄνεσιν δὲ, τὴν ἐλάττονα. αὗται μὲν γὰρ ἴσην αὐτὴν ἑκάστου λόγον συμπληροῦσαι διαφοραὶ, αἱ τὴν οὐσίαν συμπληροῦσαι. αὗται δὲ καὶ τοὺς ὁρισμοὺς ἴσους συμπληροῦσαι. οἱ δὲ ὁρισμοὶ τοῦ αὐτοῦ, οἱ αὐτοὶ ἴσοι εἰσὶν ἀεί. οὐ γὰρ ποτὲ μὲν ζῶον λογικὸν θνητὸν ὁ ἄνθρωπος, ποτὲ δὲ οὔ, ἀλλ' ἀεὶ ὡσαύτως, οὔτε ἐπίτασιν, οὔτε ἄνεσιν ἐπιδέχεται μέσως. οὐ γὰρ ποτὲ μᾶλλον ζῶον λογικὸν θνητὸν

τὸ ἧττον, ὅσα περὶ τὸ αὐτὸ ὑποκείμενον σωίστασθαι ἐναντία ὄντα, ἀπαγκαῖον μίγνυσθαι ἀλλήλοις. οἷον, λευκὸν λευκοῦ μᾶλλον λέγεται λευκὸν, καὶ ἧττον. καὶ μέλαν μέλανος μᾶλλον, καὶ ἧττον. ἐπειδὴ τὸ αὐτὸ ὑποκείμενον ποτὲ μὲν λευκὸν γίνεται, ποτὲ δὲ μέλαν, καὶ μίγνυται ταῦτα ἀλλήλοις, τὸ λευκὸν λέγω τῷ μέλανι, καὶ ποῦ μὲν καθαρώτερα, ποῦ δὲ ἧττον μεμιγμένα συμβαίνει γίνεσθαι. ἐπὶ δὲ τῆς οὐσίας, οὐκέτι τὸ μᾶλλον καὶ τὸ ἧττον φιλεῖ γίνεσθαι, ἐπειδὴ οὐ δοκεῖ τίον εἶναι τί τῇ οὐσίᾳ, οὐδὲ τὸ λογικὸν καὶ τὸ ἄλογον ἐπὶ τὸ αὐτὸ ὑποκείμενον σωίστασθαι. Εἰ δέ τις εἴποι πῶς οὖν ὁ ἀριστοτέλης ἐν ταῖς κατηγορίαις ἔφη, οὐσία δὲ ἐστὶν ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη· ἰδοὺ γὰρ τὸ μάλιστα εἶπεν, ὡς ἂν τὸ μᾶλλον καὶ τὸ ἧττον δέχεσθαι ἐπιδεχόμενον, φαμὲν, ὡς πρῶτον μὲν πρὸς τὴν ἡμετέραν γνῶσιν αὐτῷ ταῦτα ἐκεῖνα λέλεκται· πρώτην γὰρ εἶπε καὶ μάλιστα τὴν ἄτομον, διὰ τὸ σωιγνώσθαι μᾶλλον ἡμῖν, καὶ πρώτην κατειληφέναι, ἐκ ταύτης γὰρ χρόνῳ καὶ ἐπιστήμη προκύψασης, προῆλθεν καὶ ἐπὶ τὴν δευτέραν, τὴν κατὰ τὸ εἶδος καὶ τὸ γένος. Ἔπειτα εἰ καὶ συγχωρήσειέ τις ἐν αὐταῖς τὸ μᾶλλον εἶναι καὶ τὸ ἧττον, οὐκ ἐν ταῖς κατὰ πλάτος ἔσαι, ἀλλ' ἐν ταῖς κατὰ βάθος· οὐ γὰρ ἀνθρωπος ἀνθρώπου μᾶλλον ἄνθρωπος, ἢ μᾶλλον λογικὸς, οὐδὲ ἵππος τοῦ βοὸς μᾶλλον ζῷον, ἢ τούτων ὁ ἄνθρωπος, ἀλλ' ἐν ταῖς κατὰ βάθος ὡς εἶπον, δυνατόν πως θεωρῆσαι τοῦτο. αἱ γὰρ ἐπάνω, τῶν ὑποκάτω τραγύτεραι, ὅσῳ καὶ ἀπολαύουσι τῶν χρειττόνων. οἷον, μᾶλλον τὸ λογικὸν, ἐν ψυχῇ, ἧττον δὲ, ἐν ψυχῇ· καὶ μᾶλλον ἐν ἀγγέλοις, ἧττον δὲ ἐν οὐρανίοις σώμασιν, ἅπερ καὶ αὐτὰ ἔμψυχα ὄντα καὶ λογικὰ, καὶ ἔστι τὸ μᾶλλον ἐν τούτοις, ἢ ἐν ἡμῖν. Καὶ ἄλλως· ἡ οὐσία μᾶλλον ἐν ζώῳ, ἢ ἐν ἀνθρώπῳ· καὶ μᾶλλον ἐν τούτοις.

σὶν αὐ κοινῶς· αὐ δὲ ἀχώρισοι καὶ ἄλλο ποιοῦται, αὐ ἰδιο αὐτατα· αὐ δὲ ἀχώρισοι χὴ ἀλλοῖον, αὐ κατὰ συμβεβηκὸς, καὶ κοινῶς ἐστιν, ὥςπερ τὸ καθίζεσθαι· ἰδίως δὲ, ὡς ἡ γρυπότης· ἰδιαίτατα δὲ, ὥςπερ τὸ λογικόν· δόξειε δ' ἂν καὶ ἕτερόν τι διάφορον εἶναι, τὸ τῶν χωρισῶν καὶ ἄλλο ποιουσῶν· κατὰ ἀλήθειαν δὲ καὶ αὕτη ἡ συζυγία ἀσύσατός ἐστι· τὸ μὲν γὰρ λογικὸν, καθ' αὐτὸ ὑπάρχει τῷ ἀνθρώπῳ, καθ' ὃ γάρ ἐστιν ἄνθρωπος, ὑπάρχει λογικὸς, διὸ καὶ πάντες ἄνθρωποι, λογικοί· τὸ δὲ γρυπὸν ἢ μέλαν, ἢ ἑστάναι, ἢ τι τῶν παρακλησίων, ἃ καθ' αὐτὸ, οὐ γὰρ καθ' ὃ ἄνθρωπος γρυπός ἐστιν, ἢ μέλας, ἢ τι τῶν λοιπῶν, ἐπειδὴ εἴθη πάντας ἀνθρώπους μέλανας ἢ γρυπὸς εἶναι· ὥς τε κἂν μὴ ᾖ τις γρυπὸς ἢ μέλας, ἄνθρωπος ἂν εἴη ἧττον ἐστιν· οὐδεμία ἄρα τῶν τοιούτων διαφορῶν ποιεῖ ἄλλό τι πρᾶγμα, ἀλλὰ ἀλλοῖον· τὸ δὲ λογικὸν καθ' αὐτὸ πρόσον τῷ ἀνθρώπῳ, ἄλλο ποιεῖ, ὅπερ ἐστὶν ἀσύσατον τοῦ ἀλλοῖον·

Αἱ μὲν οὖν καθ' αὐτὸ πρόσουσαι τινὶ, οὐ τῷ τῆς οὐσίας λόγῳ λαμβάνονται, καὶ ποιοῦσιν ἄλλο· αὐ δὲ κατὰ συμβεβηκὸς οὔτε τῷ τῆς οὐσίας λόγῳ λαμβάνονται, οὔτε ποιοῦσιν ἄλλο, ἀλλὰ ἀλλοῖον· καὶ αὐ μὲν καθ' αὐτὸ, οὐκ ὢν δέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον·

Ἐν τῷ λόγῳ τῆς οὐσίας, αὐτὶ τοῦ οὐ τῷ λόγῳ τῷ δηλωτικῷ τῆς φύσιν τοῦ πράγματος, τουτέστι τῷ ὁρισμῷ· οὐ γὰρ ὁρισμοί, ἐκ γένους καὶ τῶν συσατικῶν εἰσι διαφορῶν, τουτέστι τῶν ἐνδοποιῶν, αἳ πᾶσαι οὐκ ὢν δέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον· οὐ γὰρ λέγεται τις μᾶλλον θνητὸς, ἢ ἧττον θνητὸς, οὔτε μᾶλλον λογικὸς, καὶ ἧττον λογικός· καὶ γὰρ οὐ μικροὶ παῖδες ὁμοίως εἰσὶ λογικοὶ, κἂν ἐμποδίζωνται ὑπὸ τοῦ ὀργάνου πρὸς τὰς λογικὰς ἐνεργείας· Καὶ ἁπλῶς δὲ ἐνδέχεται, ὅτι ἐκεῖνα ὢν δέχονται τὸ μᾶλλον καὶ

» διαιρέσεις γίνονται τῶν γενῶν εἰς τὰ εἴδη· οἱ τε ὅροι ἀποδί-
» δονται, ἐκ γένους ὄντες καὶ τῆς τοιούτων διαφορῶν, κατὰ
» δὲ τὰς μόνον ἄλλοῖον ποιούσας αἱ ἐπιρρήσεις μόνον σωί-
» ζονται, καὶ αἱ τοῦ πῶς ἔχειν μεταβολαί.

Λέγομεν γὰρ τοῦ ζώου τὸ μὲν, λογικὸν, τὸ δὲ, ἄλογον, καὶ τὸ μὲν, θνητὸν, τὸ δὲ, ἀθάνατον. καὶ πάλιν τοὺς ὁρισμοὺς διὰ τούτων ἀποδίδομεν, λέγομεν γὰρ, ἄνθρωπός ἐστι, ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν.

» Ἄνωθεν οὖν πάλιν ἀρξόμεθα, ῥητέον. τῶν διαφο-
» ρῶν τὰς μὲν, εἶναι χωριστὰς, τὰς δὲ, ἀχωρίστους. τὸ μὲν γὰρ
» κινεῖσθαι, καὶ τὸ ἠρεμεῖν, καὶ τὸ νοσεῖν, καὶ τὸ ὑγιαίνειν, καὶ
» ὅσα τούτοις παραπλήσια, χωριστὰ ἐστί, τὸ δὲ γρυπὸν εἶναι
» ἢ σιμὸν, ἢ λογικὸν. ἢ ἄλογον, ἀχώριστα. τῶν δὲ ἀχωρίστων,
» αἱ μὲν, ὑπάρχουσι καθ' αὑτὸ, αἱ δὲ, κατὰ συμβεβηκός.
» τὸ μὲν γὰρ λογικὸν, καθ' αὑτὸ ὑπάρχει τῷ ἀνθρώπῳ, καὶ τὸ
» θνητὸν, καὶ τὸ ἐπιστήμης εἶναι δεκτικόν, τὸ δὲ γρυπὸν εἶναι,
» ἢ σιμὸν, κατὰ συμβεβηκός, καὶ ὃ καθ' αὑτό.

Ἐντεῦθεν πάλιν ἀρκτέον τελειότερον τῆς διαιρέσεως, ὥσπερ ἀπ' ἀρχῆς πῶς πρὸς τὸ αὐτὰς χωρίσαι ἀπ' ἀλλήλων. τῶν οὖν διαφορῶν, αἱ μὲν εἰσι χωρισταὶ, αἱ δὲ, ἀχώριστοι. καὶ ταύτην διακρίνονται αἱ κοινῶς, τῶν ἰδίως, καὶ ἐδιάστατοι. Πάλιν τῶν διαφορῶν, αἱ μὲν, ποιοῦσιν ἄλλο, αἱ δὲ, ἄλλοῖον. καὶ ταύτην διακρίνονται αἱ ἰδιάστατοι, τῶν ἰδίως, καὶ κοινῶς. Ἐκ τούτων οὖν τῶν ἀντιθέσεων ἐξ ὧν διακρίνονται αἱ διαφοραὶ ἀλλήλων, γίνονται συζυγίαι· ἐξ ὧν αἱ δύο ὁμολογουμένως εἰσὶν ἀσύστατοι, οὐ γὰρ συνίστανται τὸ χωριστὸν καὶ ἀχώριστον, ἢ τὸ ἄλλοῖον, καὶ ἄλλο. τῶν δὲ τεσσάρων συζυγιῶν τῶν λοιπῶν, ἡ μία ἀσύστατός ἐστιν, ἡ χωριστὴ καὶ ἄλλο ποιοῦσα. αἱ δὲ λοιπαὶ τρεῖς, συνίστανται. αἱ μὲν γὰρ χωριστὰ καὶ ἀλλοῖον ποιοῦσαι, αἱ

Digitized by Google

„ ἀλλοῖον, ἁπλῶς λαφορά. τῷ γὰρ ζώῳ προστεθοῦσα ἡ τοῦ
„ λογικοῦ διαφορὰ, ἄλλο ἐποίησεν, καὶ ἡ δὸς τοῦ ζώου ἐποίη
„ σεν, ἡ δὲ τοῦ κινεῖσθαι, ἀλλοῖον μόνον παρὰ τὸ ἠρεμοῦν ἐποί
„ ησεν. ὥστε ἡ μὲν ἄλλο, ἡ δὲ ἀλλοῖον μόνον ἐποίησε.

Ἄλλως διαίρεσιν ἐκτίθεται τῶν διαφορῶν. αἱ μὲν γὰρ φησι ποιοῦσιν ἄλλο, αἱ δὲ, ἀλλοῖον, καὶ αἱ μὲν ποιοῦσαι ἄλλο, καθ' αὑτὸ, αἱ δὲ ἀλλοῖον, κατὰ συμβεβηκὸς καὶ κατὰ συμβεβηκότος εἶσι καὶ χωρισταί. χωρισὴν δὲ λέγω, τὴν κοινωνῶς, ἢ τὴν ἰδίως, καὶ αὐτὴ γὰρ χωρισὴ ἐστὶν ἡ ὑπονοία, διώκαμαι γὰρ τὸ σωκράτει ἄγρυπνον νοῆσαι, μόνον τὰ σωκράτει, ἐχ νοήσαμεν τι, κομήτην. τὰ δὲ κοινῶς ἰδιαίτατα, οὐκέτι χωρίσαι αὐτοῦ, οὐδὲ κατ' ἐπίνοιαν διώαμαι, οὐ γὰρ ὑπονοῆσαι τὸ ἄνθρωπον ἐκτὸς τοῦ λογικοῦ διωατὸν, ἐπεὶ οὐκέτι ἔσται ἄνθρωπος, πάντες γὰρ ἄνθρωποι λογικοί, καὶ πάντες θνητοί. ὡς τὸν μὲν σιμὸν, διώαμαι γυμνὸν νοῆσαι τοῦ αὐτοῦ ἀνθρώπου μόνον τὸ σιμόν. τὸν δὲ ἄνθρωπον, οὐκέτι ἐκτὸς τοῦ λογικοῦ ἢ τοῦ θνητοῦ. οὐκέτι γὰρ ἄνθρωπος. ὥστε σωρεῖται ἰδίως καὶ κοινῶς λεγόμεναι διαφοραὶ, χωρισταί εἰσιν. ὅταν γὰρ ὁ ἱστάμενος καθίσῃ, οὐκ ἐγένετο ἄλλος, ἀλλὰ μόνον ἀλλοῖος, ὡς δηλοῖ τοῦτο καὶ ὁ ποιητὴς πρὸς τοῦ ὀδυσσέως καὶ τὰ τὰ πρὸς αὐτὸν συμβεβηκότα μεταβεβλημένα ὑπὸ τῆς
„ ἀθηνᾶς, λέγων. Ἄλλοῖος μοι ξεῖνε φάνης νέον ἠὲ πάροιθεν. Οὐ γὰρ ἦν ἄλλος, ἀλλὰ ἀλλοῖος. ἀλλ' οὐδὲ μὴν ἡ σιμὸς γυμνὸς ὑπονοηθῇ, οὐ παρὰ τοῦτο ἄλλος ἐγένετο, ἀλλὰ ἀλλοῖος. ὁ αὐτὸς γὰρ διώκῃ εἶναι οὐ μέντοι σιμός. αἱ δὲ ἄλλο ποιοῦσαι, εἰσὶν εἰδοποιοί. τὸ γὰρ λογικὸν οὐ ποιεῖ ἀλλοῖον τὸν ἄνθρωπον παρὰ τὸν ἵππον, ἀλλὰ ἄλλον. ἄλλα γὰρ λέγομεν τὰ τῇ οὐσίᾳ διαφέροντα, ὡς εἰρήκαμεν γνῶναι, ἄνθρωπον, καὶ ἵππον.

„ Κατὰ μὲν οὖν τὰς ἄλλο ποιούσας διαφορὰς, αἱ τε

σχαλαγιῶ ποιεῖται· τὸ δὲ ἄλλο, πάντη ἕτερον ποιεῖ· τὸ μὲν γὰρ λογικὸν ζῷον, ἄλλο παρὰ τὸ ἄλογον· ὁ δὲ καθεζόμενος, τοῦ ἑστῶτος καὶ ἄλλο· ἀλλοῖον δὲ ὁμοίως καὶ ὀργίλον τοῦ σιμοῦ. Τριχῶς οὖν τῶν διαφορῶν λεγομένων, τῶν μὲν κοινῶς, τῶν δὲ, ἰδίως, τῶν δὲ, ἰδιαίτατα, πρὸς τὰ ἰδιαίτατα παρὰ τοῖς φιλοσόφοις ὁ λόγος. αἱ γὰρ ἰδίως καὶ κοινῶς, εἰς διάρεσιν τῶν γενῶν οὐ χρησιμεύουσιν, οὐδὲ εἰς γὰρ λέγει, ὅτι τῶν ζώων τὰ μὲν, καθεζόμενα, τὰ δὲ, ἑστῶτα, οὐ γὰρ πάντα πρὸς λαμβάνομεν, οὐδὲ ὅτι τὰ μὲν, σιμὰ, τὰ δὲ, γρυπὰ διὰ τὸ αὐτό. εἰδὲ μὴ εἰς τὴν διάρεσιν χρήσιμοι, οὐδ' εἰς τοὺς ὁρισμούς. μόναι ἄρα αἱ ἰδιαίτατα χρησιμεύουσι. Καὶ ἰδιαίτατα λέγω. Τὸ λεγόμενον προσθεὶς, ἐσήμανε τὸ αὐτὸν τὸ ὄνομα τοῦτο τεθεικέναι. εἰώθασι γὰρ οἱ παλαιοὶ, ὅταν ὀνόματι τινὶ τῶν φερομένων κέχρηται, λέγειν λέγεται. ὅταν δὲ αὐτοῖς ὀνόματα θῶσιν, εἰώθασι καλεῖσθαι λέγειν, ἢ λεγέσθω. Διαφέρει γὰρ σωκράτης πλάτωνος τῇ ἐπρότητι. καθὸ γὰρ ἄνθρωποι, οὐδὲν διαφέρουσι τῇ ἐπρότητι, καθὸ δὲ ὁ μὲν, εὖ τυχὼν καθέηται, ὁ δὲ, πρὸς παττῖ, διαφέρουσι. καὶ αἱ ἐν ταῖς τοῦ πῶς ἔχειν ἐπρότησι· ταύτην, αὗται αἱ διαφοραὶ κατὰ συμβεβηκὸς θεωροῦνται, αὐτὴ δὲ τοῦ ἀπλῶν κατὰ συμβεβηκὸς, ἅπερ ἐν ταῖς τοῦ πῶς ἔχειν ἐπρότησιν, ἐπειδὴ, πρὸ τὸ συμβεβηκὸς ἐν τῷ πῶς ἔχειν κατηγορεῖ· ὥσπερ ὁ ἄνθρωπος τοῦ ἵππου ἡδοποιῷ διαφορᾷ διενήνοχε τῇ τοῦ λογικοῦ ποιότητι, τουτέστι, τῇ συμπληρωτικῇ τοῦ εἴδους. τὸ γὰρ ζῷον προσλαμβάνον μὲν τὸ ἥμερον καὶ λογικὸν, ποιεῖ ἄνθρωπον. τὸ δὲ ἥμερον καὶ ἄλογον, ποιεῖ ἵππον, κύνα, καὶ πάλλα τὰ ἄλογα ζῷα. αὖθ' οὕτω αἱ διαφοραὶ σωτηρίαι τοῖς γένεσι, ποιοῦσι τὰ εἴδη. καὶ διὰ τοῦτο ἡδοποιοὶ λέγονται.

Τῶν γὰρ διαφορῶν αἱ μὲν, ἀλλοῖον ποιοῦσιν, αἱ δὲ ἄλλο· αἱ μὲν οὖν ποιοῦσαι ἄλλο, ἡδοποιοὶ κέκληνται, αἱ δὲ

γαι τοῦ πράγματος πᾶσι. καὶ αὕτη μὲν ἐστὶν ἀχώρισος καὶ κατὰ συμβεβηκὸς· οἷον, γρυπότης, σιμότης, λαυκότης. διαφέρουσι γὰρ ἀλλήλων πυῖς τῷ, τὴν μὲν, σιμὴν εἶναι, τὴν δὲ, γρυπήν. αὗται δὲ κατὰ συμβεβηκὸς μέν εἰσιν, ὡς μὴ οὔσαι τῶν οὐσιῶν συμπληρωτικαὶ τῶν ὑποκειμένων, ἐνδέχεται γὰρ Σωκράτης μὴ εἶναι σιμὸς, καὶ ὅμως εἶναι Σωκράτης, ἀχώρισοι δὲ, οὐ γὰρ πέφυκασι χωρίζεσθαι τοῦ ὑποκειμένου, ἃς καλεῖ ὁ Πορφύριος ἰδίως, ἐπειδὴ ἀφωρισμένως τῷδέ πῃ ὑπάρχει τὸ σιμόν. Ἀχώρισον δέ ἐστι καὶ ὁ κατὰ συμβεβηκὸς, ἀλλὰ συμπληρωτικὸν τῆς οὐσίας, οἷον, τὸ λογικὸν, τὸ ἔμπτον. διαφέρουσι γὰρ τῶν ἀλόγων ζώων. καθ' ἃ ἡμεῖς μὲν λογικοί, ἐκεῖνα δὲ ἄλογα. ταύτην οὖν τὴν διαφορὰν, ἰδιαίτατα ἐκάλεσε. Τῶν οὖν διαφορῶν, ἡ μὲν, λέγεται κοινῶς, ἡ δὲ, ἰδίως, ἡ δὲ, ἰδιαίτατα. κοινῶς μὲν, αἱ κατὰ συμβεβηκὸς καὶ χωριστά· ἰδίως δὲ, αἱ κατὰ συμβεβηκὸς καὶ ἀχώριστοι, αἱ δὲ ἀχώριστοι μὲν, συμπληροῦσαι δὲ τὴν οὐσίαν τοῦ ὑποκειμένου, καὶ ὅσαι καθ' αὑτὸ, ἰδιαίτατα λέγονται, ὧδε· ἐπειδὴ πολλὰ ἐκεῖνα κατέλεγεται πᾶσι φιλόσοφοι, ἃ συμβάλλεται εἰς τὴν κατὰ φιλοσοφίαν μέθοδον, τήν τε διαιρετικὴν, καὶ τὴν ὁριστικήν. ἀδύνατον δὲ ὁρισμὸς οὔτε διαίρεσις ἀπὸ συμβεβηκότος λαμβάνεται, ἀλλ' ἐκ τῶν οὐσιωδῶν. ἐνταῦθα ἰδιαίτατα ἐκ τῶν οὐσιωδῶν, εἰκότως πολλὰ ταύτης. πρώτη μὲν οὖν διαίρεσις τῶν διαφορῶν αὕτη. Πάλιν δὲ τῶν διαιρῶν αὐτῶν, φησίν· ὅτι τῶν διαφορῶν αἱ μὲν, ἀλλοῖον ποιοῦσι τὸ ὑποκείμενον· αἱ δὲ, ἄλλο. ἡ μὲν κοινῶς καὶ ἰδίως λεγομένη διαφορὰ, ἀλλοῖον· ἀλλοῖον γὰρ τὸ καθίζεσθαι, καὶ τὸ ἐσχηκέναι· καὶ ἀλλοῖον τὸ σιμὸν, καὶ τὸ γρυπόν· αἱ δὲ ἰδιαίτατα, ἄλλο, ἄλλο γὰρ τὸ λογικὸν, καὶ ἄλλο τὸ ἄλογον· τὸ μὲν γὰρ ἀλλοῖον, κατά τι τῆς τοῦ πράγματος ἕ

καὶ αὐτὸς ἑαυτοῦ, παιδός τε ὄντος καὶ ἀνδρωθέντος, καὶ σωρείτου τε καὶ πανυσαμένου. ἢ οὐκ ἐν ταῖς τοῦ πῶς ἔχειν ἑτερότησι θεωρεῖται. Ἰδίως δὲ διαφέρειν ἕτερον ἑτέρου λέγεται, ὅταν ἀχωρίστως συμβεβηκότι τὸ ἕτερον τοῦ ἑτέρου διαφέρῃ· ἀχώριστον δὲ συμβεβηκὸς, οἷον χλωκότης, ἢ γρυπότης, ἢ ἐλλὴ ἐκ τραύματος συσκιρρωθεῖσα. Ἰδιάζοντα δὲ διαφέρειν ἕτερον ἑτέρου λέγεται, ὅταν εἴδοποιῷ διαφορᾷ διαλλάττῃ, ὥσπερ ἄνθρωπος ἵππου εἴδοποιῷ διαφορᾷ διαιρήσει τῇ τοῦ λογικοῦ ποιότητι. Καθόλου μὲν γὰρ πᾶσα διαφορὰ προσγινομένη τινί, ἑτεροῖον ποιεῖ· ἀλλ' αἱ μὲν κοινῶς τε καὶ ἰδίως, ἄλλοῖον ποιοῦσιν, αἱ δὲ ἰδιάζοντα, ἄλλο.

Ὅτι μὲν ἡ διαφορὰ πρότερα ἐστὶ τοῦ εἴδους, καὶ δι' ὧν αἱ τίκτουσι πρότερον πρὸς τοῦ εἴδους διηλέχθη, ἤδη λέλεκται. νυνὶ θαὶ πρὸς τῆς διαφορᾶς ποιεῖται τὸν λόγον, καὶ τῷ ἑρμογόνῳ πάλιν κανόνι χρώμενος ἀποδείκνυται τῆς διαφορᾶς τὸ σημαινόμενον. Ἵνα δὲ τοῖς μέλλουσι λέγεσθαι παρακολουθήσωμεν, εἴπωμεν οὕτως· ἡ διαφορὰ ἑτερότης ἐστὶ πραγμάτων πρὸς ἄλληλα. αὕτη οὖν ἡ ἑτερότης, ἢ χωριστὴ ἐστὶ καὶ κατὰ τὸ συμβεβηκὸς, ἥτις πέφυκε χωρίζεσθαι ἐκείνων ὧν ἐστὶν ἑτερότης, ἢ ἀχώριστος· οἷον, διαφέρουσιν ἀλλήλων τινὲς, τῷ τὸν μὲν, ἐξάναι τυχὸν, τὸν δὲ, καθῆσθαι, καὶ δυνάσθαι ὁ καθήμενος ἐλθεῖν, τὸν δὲ ἑστῶτα καθῆσθαι· διαφέρουσι κατὰ τοῦτο ἀλλήλων. αὕτη οὖν ἡ διαφορὰ λέγεται χωριστὴ, ἣν καλεῖ ὁ Πορφύριος κοινῶς, ἐπειδὴ οὐκ ἀναφωρισμένως τῷ δεῖνι ὑπάρχει, ἀλλὰ κοινῶς πᾶσι· καὶ αὕτη μέν ἐστι χωριστὴ καὶ κατὰ συμβεβηκὸς ἡ διαφορά.

Εἰ δ' ἀχώριστος ἡ διαφορὰ ὑπάρχει, ἢ καθ' αὐτὸ ὑπάρχει, τουτέστι συμπληρωτική ἐστι τῆς τοῦ ὑποκειμένου οὐσίας, ἢ κατὰ συμβεβηκὸς, τουτέστι, μηδὲν σωπλοῦσα εἰς τὸ εἶ-

ὡς πρὸς τὸ ἄπτμον, μέρος δὲ, ὡς πρὸς τὸ γένος, ἀλλὰ μέρος μὲν, ἄλλου, ὅλον δὲ οὐκ ἄλλου, ἀλλ' ἐν ἄλλοις. ἐπειδὴ τὸ ὅλον καὶ τὸ μέρος τῶν πρός τι ἐστὶ, τοῦ δὲ πρός τι τὸ μὲν, κατ' ὀρθὼ πτῶσιν λέγεται, τὸ δὲ κατά τινα πλαγίαν, οἷον, ὁ πατὴρ, υἱοῦ πατὴρ, σὺ ταῦθ' πρὸς γενικὴν ἡ ἀπόδοσις, κατὰ δὲ δοτικὴν ἡ ἀπόδοσις, ἐὰν εἴπω, ὁ φίλος, φίλῳ φίλος, ἡ δὲ λέξω ὁ τύπτων τυπτόμενον τύπτει, πρὸς αἰτιατικήν. ἐπεὶ οὖν τοῦθ' οὕτως ἔχει, διὰ τοῦτο εἶπε τὸ μέρος ἄλλου, τὸ δὲ ὅλον, οὐκ ἄλλους. λέγομεν γὰρ τὸ μὲν μέρος, τοῦ ὅλου μέρος, καὶ ποιοῦμεν τὴν ἀπόδοσιν πρὸς γενικὴν ὅλου τινός. τὸ δὲ ὅλον, οὐκέτι λέγομεν μέρους ὅλον, ἐκ γὰρ συγκειται τὸ ὅλον ἐξ ἑνὸς μέρους, ἀλλ' ἐκ πολλῶν, ἀλλὰ λέγομεν τὸ ὅλον τοῖς μέρεσιν ὅλον. καὶ γίνεται ἡ ἀπόδοσις πρὸς δοτικήν. τοῖς γὰρ μέρεσιν ἐστὶν ὅλον. καλῶς οὖν εἶπε, τὸ δὲ ὅλον οὐκ ἄλλου, ἀλλ' ἐν ἄλλοις. Ἰσέον δὲ ὅτι δυνατὸν καὶ πρὸς γενικὴν οὐχ ἑνικὴν, ἀλλὰ πληθυντικὴν ἀποδοθῆναι, καὶ εἰπεῖν, τὸ ὅλον μερῶν ἐστιν ὅλον, ἀλλ' ὁ πορφύριος τῇ πολλῇ χρήσει ἀκολουθεῖ, πρὸς δοτικὴν ποιούμενος τὴν ἀπόδοσιν.

» Περὶ μὲν οὖν γένους καὶ εἴδους, καὶ τί τὸ γενικώτατον, καὶ
» τί τὸ εἰδικώτατον, καὶ τίνα γένη τε καὶ εἴδη, τίνα τε
» τὰ ἄτομα, καὶ πόσαχῶς τὸ γένος καὶ τὸ εἶδος, εἴρηται.

Καὶ τίνα καὶ γένη καὶ εἴδη ἐστὶν, ὅπου ὑπάλληλα, ταῦτα γὰρ καὶ γένη καὶ εἴδη. καὶ πόσαχῶς τὸ γένος καὶ τὸ εἶδος, ὅτι τὸ μὲν γένος, τριχῶς λέγεται, τὸ δὲ εἶδος, διχῶς.

## ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ.

» Διαφορὰ δὲ κοινῶς τε, καὶ ἰδίως, καὶ ἰδιαίτατα λεγέ
» σθω. κοινῶς μὲν γὰρ διαφέρειν ἕτερον ἑτέρου λέγεται,
» τὸ, ἑτερότητι διαλλάττον ὁπωσοῦν, ἢ πρὸς ἑαυτὸ, ἢ πρὸς
» ἄλλο. διαφέρει γὰρ σωκράτης πλάτωνος τῇ ἑτερότητι,

τὸ ἄθροισμα· ἕκαστον μὲν γάρ, καὶ ἄλλοις ὑπάρχειν δύναται· τὰ δὲ πάντα, οὐδενί· αἱ γὰρ τοῦ Σωκράτους ἰδιότητες, οὐκ ἂν ἐπ' ἄλλου ποτὲ γένοιντ' ἂν αἱ αὐταί. αἱ μὲν τοι τοῦ ἀνθρώπου, ὑπάρχουσι καὶ τοῖς κατὰ μέρος ἀνθρώποις· ὅτιον, τὸ ζῷον, τὸ λογικὸν, τὸ θνητόν· καὶ ἁπλῶς ὅσπερ τοιοῦτον ἐθέλεις εἰπεῖν. Ἴσεον δὲ ὅτι τὸ γένος ἔχει πολὺς ἰδιότητας, καὶ τὸ εἶδος, καὶ τὸ ἄτομον. ἀλλ' αἱ μὲν τοῦ γένους καὶ τοῦ εἴδους, πλείοσιν ὑπάρχειν δύνανται, αἱ δὲ τοῦ ἀτόμου ἀφορίζομεναι ἐκείνῳ μόνῳ τῷ ἀτόμῳ καὶ οὐδενὶ ἄλλῳ· ὅτιον τί λέγω, ἰδιότητες εἰσὶ τοῦ γένους, ὅτιον τοῦ ζῴου, ἡ οὐσία, τὸ ἔμψυχον, τὸ αἰσθητικόν· αὗται δὲ πλείοσιν ὑπάρχουσι· καὶ γὰρ ἀνθρώπῳ, καὶ ἵππῳ, καὶ χοιρίδιῳ, καὶ τοῖς κατὰ μέρος ζῴοις. ἐλθόμεν ἐπὶ τὸ εἶδος, ὅτιον, τὸν ἄνθρωπον· ἰδιότητες αὐτῷ, τὸ ζῷον, τὸ λογικὸν, τὸ θνητὸν, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν· καὶ πᾶσι τοῖς ἀνθρώποις ταῦτα ὑπάρχει. ἐλθόμεν ἐπὶ τὸ ἄτομον, ὅτιον, τὸν Σωκράτην· ἰδιότητες αὐτοῦ, τὸ φιλόσοφον, τὸ φαλακρὸν, τὸ προγάστορα, τὸ σωφρονίσκου γὸν, τὸ ἀθλιαῖον, καὶ ἐπὶ τοιοῦτον. ἕκαστον δὲ τούτων, καθ' αὑτὸ μὲν δύναται καὶ ἄλλοις ὑπάρχειν, εἰσὶ γὰρ καὶ ἄλλοι φαλακροὶ, καὶ σιμοὶ, καὶ φιλόσοφοι, καὶ ἀθλιαῖοι, ἢ τύχοι δὲ, καὶ σωφρονίσκου γοί· τὸ δὲ ἐκ πάντων ἄθροισμα, τὸ φιλόσοφον, τὸ φαλακρὸν, τὸ σιμὸν, τὸ προγάστορα, καὶ ἐν τῷδε γενέσθαι τῷ χρόνῳ, μόνῳ Σωκράτει ὑπάρχει, καὶ οὐδενὶ ἄλλῳ.

» Περιέχεται δὲ, τὸ μὲν ἄτομον, ὑπὸ τοῦ εἴδους, τὸ δὲ
» εἶδος, ὑπὸ τοῦ γένους, ὅλον γάρ τι τὸ γένος, τὸ δὲ ἄτομον μέ
» ρος, τὸ δὲ εἶδος καὶ ὅλον καὶ μέρος, ἀλλὰ μέρος μὲν ἄλλου, ὅ
» λον δὲ οὐκ ἄλλου, ἀλλ' ἐν ἄλλοις· ἐν γὰρ τοῖς μέρεσι τὸ ὅλον.

Τὸ μὲν γὰρ γένος, μόνως ὅλον, τὸ δὲ ἄτομον, μόνως μέρος, τὸ δὲ εἶδος, καὶ ὅλον, καὶ μέρος, καὶ ἄλλου μὲν,

νικώτατον. ὅιον τοῦ σωκράτους, κατηγορεῖται ὁ ἄνθρωπος, τούτου δὲ, τὸ ζῶον, καὶ τὸ ζῶον, ἄρα κατὰ τοῦ σωκράτους κατηγορηθήσεται. ὡσαύτως καὶ τὸ ἔμψυχον κατὰ τοῦ ζώου, οὕτω καὶ κατὰ ἀνθρώπου, καὶ κατὰ σωκράτους. πάλιν τὸ σῶμα κατὰ τοῦ ἐμψύχου, οὕτω καὶ κατὰ τοῦ ζώου, καὶ κατὰ τοῦ ἀνθρώπου, καὶ κατὰ τοῦ σωκράτους. πάλιν ἡ οὐσία κατὰ τοῦ σώματος, καὶ διὰ τοῦτο καὶ ἡ οὐσία καὶ τὸ σῶμα, καὶ κατὰ τοῦ ἐμψύχου, καὶ κατὰ τοῦ ζώου, καὶ κατὰ τοῦ ἀνθρώπου, καὶ κατὰ τοῦ σωκράτους κατηγορηθήσεται.

Λέγεται δὲ τὸ μὲν γενικώτατον, κατὰ πάντων τῶν ὑπ' αὐτὸ γενῶν τε καὶ εἰδῶν καὶ ἀτόμων. τὸ δὲ γένος τὸ πρὸ τοῦ εἰδικωτάτου κατὰ πάντων τῶν εἰδικωτάτων, καὶ ἀτόμων. τὸ δὲ μόνον εἶδος κατὰ πάντων τῶν ἀτόμων. τὸ δὲ ἄτομον ἐφ' ἑνὸς μόνου τῶν κατὰ μέρος.

Εἰ δὲ ἀεὶ τὰ ἐπάνω τῶν ὑποκάτω κατηγορεῖται, δῆλον ὅτι τὸ μὴ γενικώτατον πάντων τῶν ὑπ' αὐτὸ γενῶν τε καὶ εἰδῶν καὶ ἀτόμων κατηγορηθήσεται, τὸ δ' εἶδος, τῶν ἀτόμων μόνων.

Ἄτομον δὲ λέγεται ὁ σωκράτης, καὶ τουτὶ τὸ λευκὸν, καὶ οὗτοσὶ ὁ προσιὼν σωφρονίσκου υἱὸς, εἰ μόνος αὐτῷ εἴη σωκράτης υἱός. ἄτομα δὲ λέγεται τὰ τοιαῦτα, ὅτι ἐξ ἰδιοτήτων συνίσταται ἕκαστον, ὧν τὸ ἀθροισμα οὐκ ἂν ἐπ' ἄλλου τινὸς ποτὲ τὸ αὐτὸ γένοιτο. αἱ μὲν δὴ τοῦ σωκράτους ἰδιότητες οὐκ ἂν ἐπ' ἄλλου τινὸς τὰ κατὰ μέρος γένοιντ' ἂν αἱ αὐταί. αἱ μέντοι τοῦ ἀνθρώπου, λέγω δὴ τοῦ κοινοῦ ἰδιότητες, γένοιντ' ἂν αἱ αὐταὶ ὡς πλείστων, μᾶλλον δὲ ὡς πάντων τῶν κατὰ μέρος ἀνθρώπων, καθ' ὃ ἄνθρωποι.

Τουτὶ προδείξας, ἐποίησε μερικὸν τὸ δεικνύμενον. τὸ δὲ καθόλου ἐστὶν, ὃ κατ' ἐπινοίαν ἕκαστον. ἀλλ' ὡς

πῶς συμπλεκόμενα προτάσεις ποιοῦσιν, ἐξ ὧν ὁ συλλογισμὸς γίνεται, πρὸ οὗ ἡ λογικὴ κατάγνεται πραγματία, φησίν, ὅτι τὸ μὲν γένος, ἀεὶ τοῦ εἴδους κατηγορεῖται, οἷον, τοῦ ἀνθρώπου τὸ ζῷον, καὶ τούτου ἡ οὐσία, τὸ δὲ εἶδος οὐδέποτε τοῦ γένους κατηγορεῖται: ὁ γὰρ ἀληθὲς εἰπεῖν, ὅτι ἡ οὐσία ζῷον ἐστιν, ἢ ὅτι τὸ ζῷον ἄνθρωπος. δῆλον οὖν, ὅτι ἀεὶ τὰ μὲν γένη τῶν εἰδῶν κατηγορεῖται, τὰ δὲ εἴδη τῶν γενῶν οὐδέποτε. καὶ ἁπλῶς εἰπεῖν, δεῖ τὰ κατηγορούμενα ἢ ἴσα πλέονα εἶναι τῶν ὑποκειμένων, ὡς τὸ ζῷον τοῦ ἀνθρώπου, ἢ ἐλάττονα, ὡς τὸ γελαστικὸν τοῦ ἀνθρώπου, τὰ δὲ ἐλάττονα, καὶ ἀντικατηγορεῖται. ὡς γὰρ λέγομεν πᾶς ἄνθρωπος γελαστικόν, οὕτω καὶ πᾶν γελαστικὸν ἄνθρωπος. καὶ πάντα τὰ ἐπάνω, τῶν ὑποκάτω. οἷον, ἡ οὐσία, τοῦ σώματος, καὶ τὸ σῶμα, τοῦ ἐμψύχου, καὶ τὸ ἔμψυχον, τοῦ ζῴου, καὶ τὸ ζῷον, τοῦ ἀνθρώπου.

» Καθὼν δ' ἂν τὸ εἶδος κατηγορεῖται, κατ' ἐκείνων ἐξ ἀνάγκης καὶ τὸ τοῦ εἴδους γένος κατηγορηθήσεται, καὶ τὸ » τοῦ γένους γένος ἄχρι τοῦ γενικωτάτου. εἰ γὰρ ἀληθὲς τὸ, » τὸν Σωκράτη εἰπεῖν ἄνθρωπον, τὸν δὲ ἄνθρωπον ζῷον, τὸ » δὲ ζῷον οὐσίαν, ἀληθὲς καὶ τὸν Σωκράτην ζῷον εἰπεῖν καὶ » οὐσίαν. ἀεὶ γὰρ τῶν ἐπάνω κατηγορουμένων τῶν ὑποκάτω, τὸ μὲν εἶδος κατὰ τοῦ ἀτόμου κατηγορηθήσεται, τὸ δὲ » γένος καὶ κατὰ τοῦ εἴδους, καὶ κατὰ τοῦ ἀτόμου, τὸ δὲ γε» νικώτατον καὶ κατὰ τοῦ γένους, ἢ τῶν γενῶν, εἰ πλείω » εἴη τὰ μέσα καὶ ὑποπίπτοντα, καὶ κατὰ τοῦ εἴδους, καὶ κατὰ τοῦ ἀτόμου κατηγορηθήσεται.

Ἕτερον θεώρημα παραδίδωσι χρήσιμον καὶ αὐτὸ εἰς τὴν λογικὴν πραγματίαν. ἔστι δὲ τοιοῦτον. ἐὰν τὸ εἶδος κατηγορῆται τινος, κατὰ τοῦ αὐτοῦ κατηγορηθήσεται καὶ τὸ τοῦ εἴδους αὐτοῦ γένος, καὶ τοῦτο γίνεται μέχρι τοῦ γε-

Ἀποδιορισόμεθα δὲ τοῦ γένους, καὶ τοῦ εἴδους τί ἐστιν ἑκάτερον αὐτῶν, καὶ τοῦ μὲν γένους ἑνὸς ὄντος, τῶν δὲ εἰδῶν πλειόνων, ἀεὶ γὰρ εἰς πλείω εἴδη ἡ τομὴ τοῦ γένους, τὸ μὲν γένος ἀεὶ τοῦ εἴδους κατηγορεῖται, καὶ πάντα τὰ ἐπάνω τ ὑποκάτω, τὸ δὲ εἶδος οὔτε τοῦ προσιόντος αὐτοῦ γένους, οὔτε τ ἐπάνω, οὐ δὲ γὰρ αὐτὸς ἐφ· ἑαυτοῦ ἡ τὰ ἴσα τῶν ἴσων κατηγορεῖται, ὡς τὸ χρεμετιστικὸν τοῦ ἵππου, ἢ τὰ μείζω τ ἐλαττόνων, ὡς τὸ ζῷον τοῦ ἀνθρώπου: τὰ δὲ ἐλάττω τῶν μειζόνων οὐκέτι· οὐ γὰρ τὸ ζῷον ἵππος ἂν εἴη ἄνθρωπος, ὥσπερ τὸν ἄνθρωπον ἵππος ἂν εἴη ζῷον.

Ἐπέσχετο ὁ Πορφύριος διδάξαι περὶ τῶν προκειμένων φωνῶν λογικώτερον, τουτέστι, πρειπόντως τῇ λογικῇ πραγματείᾳ. μετὰ τὸ διδάξαι τοίνυν περὶ γένους καὶ εἴδους τί ἐστιν ἑκάτερον, βούλεται προδιδάξαι καὶ πῶς χρήσιμος ἐστιν ἡ περὶ αὐτῶν θεωρία ἐν τῇ λογικῇ πραγματείᾳ. ἐπειδὴ γὰρ ἡ λογικὴ πραγματεία καταγίνεται περὶ τὴν ἀπόδειξιν, ἡ δὲ ἀπόδειξις, συλλογισμός τις ἐστὶν, ἐν δὲ τῷ συλλογισμῷ διομεθα προτάσεων, ἡ δὲ πρότασις ἐκ δύο ὅρων σύγκειται, ὧν ὁ μὲν ἐστὶν, ὑποκειμένου, ὁ δὲ, κατηγορουμένου: καὶ ὑποκείμενον μὲν ἐστὶ, περὶ οὗ ὁ λόγος, κατηγορούμενον δὲ, ὁ περὶ ἐκείνου λεγόμενον, οἷον Σωκράτης περιπατεῖ: ὑποκειται μὲν γὰρ ὁ Σωκράτης περὶ οὗ ὁ λόγος, κατηγορεῖται δὲ τὸ περιπατεῖ, ὅπερ καὶ τ ἐκείνου λέγεται: πάλιν ἐὰν εἴπω, ὅτι ἡ ψυχὴ αὐτοκίνητος, ὑποκειται μὲν ἡ ψυχὴ, κατηγορεῖται δὲ τὸ αὐτοκίνητον: πάλιν ἐὰν εἴπω, ὁ ἄνθρωπος ζῷον ἐστιν, ὁ μὲν ἄνθρωπος, ἐστὶν ὑποκείμενον, τὸ δὲ ζῷον, κατηγορούμενον, καὶ ἐπὶ πάσης προτάσεως ὡσαύτως: βούλεται περὶ τῶν γενῶν καὶ εἰδῶν διδάξαι, τίνα τίνων κατηγορεῖται, καὶ τίνα τίσιν ὑπόκειται. καὶ ἵνα γνῶμεν

ἐστιν ἄγνωστα. τὰ δὲ ἄτομα, τῇ μὲν φύσει οὐχ ὡρίσται, τῷ ποτὲ μὲν καὶ πάλιν γίνεσθαι, ἡμῖν δὲ τὰ γνώμονα καὶ σύνορα ὄντα, καὶ τὰ ἤδη γεγνόμενα, εἰ ἀρχὴν ἔχοντα ἡ γένεσις, ἢ καὶ μὴ ἔγνωσται πόσα εἴη, ἀλλ' οὖν γνωσθῆναι ὅσον ἐπὶ τῇ φύσει τῇ ἑαυτῶν ἠδύνατο, ὥσπερ τὰ ἀδιαίρετα εἴδη, ἐπεδήπερ καὶ δέδεικται, ὡς ὡρισμένος ἐστὶν ὁ τούτων ἀριθμός.

» Καὶ πάντας μὲν οὖν εἰς τὰ ἀδιαίρετα ἀνάγκη διαιρεῖν
» τὰς διὰ πλῆθος εἴναι· ἀνιόντας δὲ εἰς τὰ γενικώτατα, ἀ
» ναγκη συναιρεῖν τὸ πλῆθος εἰς σύ. συναγωγὸν γὰρ τὸ πολ
» λῶν εἰς μίαν φύσιν τὸ εἶδος, καὶ ἔτι μᾶλλον τὸ γένος, τὸ δὲ
» κατὰ μέρος καὶ καθ' ἕκαστα τοὐναντίον, εἰς πλῆθος ἀεὶ διαι
» ρεῖ τὸ σύ. τῇ μὲν γὰρ τοῦ εἴδους μετουσίᾳ οἱ πολλοὶ ἄν
» θρωποι, εἷς· τοῖς δὲ κατὰ μέρος καθ' ἕκαστα, ὁ εἷς καὶ κοι
» νὸς, πλείους· διαιρετικὸν μὲν γὰρ τὸ καθ' ἕκαστον, συλλη πτι
» κὸν δὲ καὶ συνοπτικὸν τὸ κοινόν.

Ἐνταῦθα βάλλεται ὁ Πορφύριος εἰπὼν, τί μὲν συμβαίνει ἀνιοῦσιν ἀπὸ τῶν ἀδιαιρέτων ἐπὶ τὰ γενικώτατα, τί δὲ καταβαίνουσιν ἀπὸ τῶν γενικωτάτων ἐπὶ τὰ ἀδιαίρετα. Καὶ ἔτι μᾶλλον τὸ γένος· τὸ γὰρ εἶδος, πολεμικὸν ἐστι τῶν κατὰ μέρος ἀτόμων, τὸ δὲ γένος, καὶ τῶν εἰδῶν, καὶ τῶν ἀτόμων· κατωθοῦν μὲν γὰρ ἀπὸ τῶν ἀτόμων ἀναβαίνουσιν ἐπὶ τὰ γενικώτατα, πλήθει μὲν τὰ πράγματα συνεῖδεν, δωσάμενα δὲ αὔξειν· τὰ γὰρ εἴδη τῶν ἀτόμων πλήθει ἐστὶν ἐλάττονα, δωσάμενα δὲ ὑπέρκειται καὶ αὔξει· ὁμοίως δὲ καὶ τὰ εἰδῶν τὰ γένη, μέχρις ἂν εἰς τὰ γενικώτατα τῶν φθάσωμεν· καὶ τοῦτο εἰκότως· ἐπειδὴ γὰρ μία ἐστὶν ἡ πάντων αἰτία καὶ ἀρχὴ, διὰ τοῦτο τὰ μὲν ταύτῃ πλησιάζοντα, συνεῖδεν πλήθει, ἀναξειται δὲ δωσάμενα, τὰ δὲ πορρώτερον αὐτῆς ὄντα, τοὐμπαλιν, πληθύεται μὲν πάλιν ἀριθμῷ, μειοῦται δὲ δωσάμενα.

οὐκ ἔστιν ἄπειρα. ὁμοίως δὲ δείξομεν, ὅτι οὐδὲ τὰ ἄτομα τὰ ὑπὸ τὰ εἰδικώτατά ἐστιν ἄπειρα· καίτοι πολλαπλασίονα τῶν εἰδῶν ὄντα. Εἰ γάρ τις λέγει τὰ ἄτομα ἄπειρα εἶναι, ἤτοι τὰ ὑφ' ἕκαστον εἶδος ἄτομα ἄπειρα λέξει, ὃ οὐ φέρει τὰ τοῦ ἀνθρώπου εἴδους αὐτὸ καθ' αὑτὸ ἄπειρα, ὁμοίως καὶ τὸ τοῦ ἵππου εἶδους ἄτομα, καὶ ταῦτα ἄπειρα, καὶ τὰ ὑφ' ἕκαστον τῶν λοιπῶν εἰδῶν ὁμοίως. ἢ τὰ μὲν ὑφ' ἕκαστον εἶδος ἄτομα πεπερασμένα φύσει εἶναι· τὸ δὲ ἐκ πάντων ὁμοῦ τῶν ὑπὸ πάντα τὰ εἴδη ἀτόμων ἄθροισμα, ἄπειρον εἶναι. ἢ μὲν οὖν τὰ ὑφ' ἕκαστον εἶδος ἄτομα ἄπειρα εἶναι λέγει, συμβήσεται πάλιν τοῦ ἀπείρου μεῖζον εἶναί τι καὶ πολλαπλάσιον· οἱ γὰρ κατὰ μέρος ἄνθρωποι, ἄπειροι, καὶ οἱ κατὰ μέρος ἵπποι, ἄπειροι· τὸ ἐξ ἀμφοῖν ἄρα διπλάσιον ἔσται τοῦ ἀπείρου· καὶ τὸ ἐκ πάντων πολλαπλάσιον. ὅπερ ἄτοπον· ἀδιώρατον ἄρα τὰ ὑφ' ἕκαστον εἶδος ἄτομα ἄπειρα εἶναι. ἢ οὖν τὰ ὑφ' ἕκαστον εἶδος ἄτομα πεπερασμένα ἐστίν, ἀλλὰ δὴ καὶ αὐτὰ τὰ εἰδικώτατα εἴδη πεπερασμένα ἐστί, καὶ τὸ ἐκ πάντων ἄρα συγκείμενον πλῆθος πεπερασμένον ἐστί· τὸ γὰρ ἐκ πεπερασμένων συγκείμενον πεπερασμένον ἐστίν. ὡς τε πεπερασμένος ἐστὶν ὁ τῶν ἀτόμων ἀριθμός; τῷ ἢ ἀεὶ γίνεσθαι, ὡς τὸ παναίδιον ὄν, τὴν ἀπειρίαν ἔχει· ὥσπερ καὶ ὁ ἀριθμὸς λέγεται ἄπειρος τῷ ἀεὶ διώκεσθαι αὔξεσθαι, καὶ μὴ ἐλλείπειν· ὃ μόνον τοῦτον λαμβάνομεν, ἀεὶ πεπέρασται· ὁμοίως δὲ δείκνυται καὶ ἡ ψάμμος πεπερασμένη. ὅθεν τὸ
» ὀχύρωμος; Οἶδα δ' ἐγὼ ψάμμου τὸν ἀριθμὸν, καὶ μέτρα
» θαλάττης· ἀλλ' οὐκ ἄπειρος ἦν, ἐπειδὴ προσπέμπεσος αὐτῇ
ὁ τῶν ἀνθρώπων ἀριθμός, τὸ ἐξ ἀμφοῖν μεῖζον θατέρου ποσὸν ἔσται ἄρα τοῦ ἀπείρου τί μεῖζον; ὅπερ ἀδιώρατον. Οὐκοῦν τὰ μὲν εἰδικώτατα, τῇ μὲν φύσει ὥρισται, ἡμῖν δὲ

φύσει, καὶ ἡμῖν γνώριμα. βούλεται οὖν ἐπισκέψασθαι καὶ περὶ τῶν εἰδικωτάτων εἰδῶν ἃ οὕτως ἔχει, ὥσπερ ἐπὶ τῶν γενικωτάτων γενῶν. φησὶν οὖν, ὅτι τὰ μὲν γενικώτατα καὶ πεπερασμένον ἔχει τὸν ἀριθμὸν, καὶ ἡμῖν γνώριμον, δὲ καὶ λόγῳ ἐπὶ τὰ γενικώτατα γένη. τὰ δὲ εἰδικώτατα εἴδη, θεὸν, ἄνθρωπος, ἵππος, βοῦς, κύων, ἄμπελος, ἐλαία, μεθ' ἃ ἡ τῶν ἀτόμων σύνθεσις ἐπὶ διαίρεσις, τῇ μὲν αὐτῶν φύσει πεπερασμένα ἐστὶ καὶ αὐτὰ, ἡμῖν δὲ ἄγνωστα, ἄλλων ἄλλοις τὸ ποιεῖν γνωμένων. πολλὰ γὰρ ἐστὶ καὶ ζώων εἴδη, καὶ φυτῶν, καὶ μετάλλων ἡμῖν ἄγνωστα. ὅπ δὲ πεπερασμένα ἐστὶν ὅσα ποτ' ἂν ἦπ, δείξομεν λαβόντες ἐλαχίστου τι σημαινόμενον, ὅπ τοῦ ἀπείρου μεῖζον οὐκ ἔστι πλῆθος. τούτου τοίνυν προσληφθέντος, ὑποκείσθω τὰ εἴδη τὰ εἰδικώτατα ἄπειρα εἶναι. ἐπεὶ οὖν καθ' ἕκαστον εἶδος πολλὰ ἐστὶν ἄτομα, οἷον ἀνθρώπου τὸ ἀνθρώπινον εἶδος εἰς μυρία ἴσως διαιρεῖται ἄτομα, οὐ κατὰ μέρος ἀνθρώπους, ὁμοίως καὶ τὸ ἵππινον εἶδος οἷον, πλεῖστα ἔχει τὰ ὑφ' αὑτὸ ἄτομα, καὶ ὧν τῶν λοιπῶν ἑκάστου ὡσαύτως, παντὶ δῆλόν ἐστιν, ὡς τοῦ παντὸς τῶν εἰδῶν ἀθροίσματος πολλῷ πλεῖόν ἐστι καθ' ὑπερβολὴν τὸ τῶν ἀτόμων ἄθροισμα. εἰ δὲ πολλαπλάσια ἐστὶ τῶν εἰδῶν τὰ ὑπὸ τὰ εἴδη ἄτομα, ἄπειρος δ' ἐστὶν ὁ τῶν εἰδικωτάτων εἰδῶν ἀριθμὸς, ὁ ἄρα τῶν ἀτόμων ἀριθμὸς μείζων ἔσται τοῦ ἀπείρου τῶν εἰδῶν ἀριθμοῦ, καὶ πολλαπλάσιος. εἰ οὖν ἀδύνατον τοῦ ἀπείρου πολλαπλάσιον εἶναι, ἢ ὅλως μείζονα, ἀδύνατον ἄρα τὸν τῶν εἰδῶν ἀριθμὸν ἄπειρον εἶναι. αὐτὸ γὰρ τὸ λέγειν μείζονα εἶναι ἀριθμὸν ἀριθμοῦ, ὁρίζομεν καὶ πρακτοῦμεν τὸν ἐλάττονα. ὁ γὰρ μείζων τινὸς ὑπερέχει τινὶ μείζων ἐστίν. ἀφαιρουμένης οὖν τῆς ὑπεροχῆς ὥρισται τὸ λοιπὸν, καὶ πεπέρασται. οὕτω μὲν οὖν ἐδείχθη, ὅτι τὰ εἰδικώτατα εἴδη

οὐκ ἔστιν

ὁρισμὸν τὸν αὐτὸν τὸν κατὰ τὸ ζῷον, ὅς ἐστιν οὐσία ἔμψυχος αἰσθητική. φησὶν οὖν ὅτι εἰ καὶ πάντα ὄντως καλὸν μόνον, ὁμωνύμως λέγομεν, οὐ συνωνύμως. καθὰ ἔφην ἐμοὶ νυμά ἐστι, τὰ μόνον ὀνόματος κοινωνοῦντα, συνώνυμα δέ, τὰ καὶ τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ. τὸ ὂν οὖν, μόνον ὀνόματος κοινωνίαν παρέχεται τοῖς ὑπ' αὐτό. λέγεται γὰρ οὐσία, καὶ δέκα κατηγορίαι. ἔπειτα δὲ καὶ κατὰ τὸν τοῦ ὀνόματος ὁρισμὸν κοινωνοῦσιν ἀλλήλοις. ἄλλη γὰρ ἄλλη κατηγορία, καθὰ τὸ εἶναι ἔχει, ὀνόματός τε, καὶ τοῦ κατὰ τοῦ ὀνόματος τυγχάνει ὁρισμοῦ. σαφέστερον ὡς ὁμώνυμος φανὴ τὸ ὂν εἰς τὰς δέκα διαιρεῖ κατηγορίας τὰς γενικωτάτας, εἰς οὐσίαν, ποσόν, ποιόν, πρός τι, πού, ποτέ, ποιεῖν, πάσχειν, κεῖσθαι, ἔχειν.

Δέκα μὲν οὖν τὰ γενικώτατα. τὰ δὲ εἰδικώτατα οὐκ ἀριθμῷ μέν πού ἐστιν, οὐ μέντοι ἀπείρῳ. τὰ δὲ ἄτομα ἄπειρα ἐστὶ τὰ μετὰ τὰ εἰδικώτατα, ἄπειρα. διὸ μέχρι τῶν εἰδικωτάτων ἀπὸ τῶν γενικωτάτων καταβάντας, παρεκελεύετο ὁ Πλάτων παύεσθαι, καταπαύειν δὲ διὰ τῶν διὰ μέσου, διαιρέσεις τὰς εἰς ἀδιαφόρους διαφοράς, τὰ δὲ ἄπειρα φησὶν εἶναι. μὴ δὲ γὰρ ἄν ποτε γενέσθαι τούτων ἐπιστήμην.

Ἄπειρα φησὶν, οὐ τῷ εἶναι, ἀλλὰ τῷ πάλιν καὶ πάλιν γίνεσθαι. εἰδοποιοῖς διαφοραῖς, αἱ τὰ τὰς οὐσιώδεσι διαφοραῖς, εἶσιν, τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον. εἰσὶ γὰρ καὶ μὴ οὐσιώδεις διαφοραί. τὰ δ' ἄπειρα φησὶν εἶναι. μὴ γὰρ ἄν ποτε φησὶ γένεσθαι τούτων ἐπιστήμην. τοῦτο φησὶ Πλάτων ἐν τῷ σοφιστῇ. ἡ γὰρ ἐπιστήμη δύναται λαμβάνειν καὶ τὸν ὁρισμόν. τὸ οὖν ἀπέριληπτον, δὲ ἐπιστητὸν δύναται εἶναι. ἀμέλει, ὡς δέδεικται ἐν τῇ ἀποδεικτικῇ, τῶν καθ' ἕκαστα ἔστι ὁρισμός ἐστιν, ἔστι ἐπιστήμη, ἀλλὰ μόνων τῶν καθόλου. καὶ πάντας μὲν οὖν εἰς τὰ εἰδικώτατα εἶπεν, ὅτι τὸ ὂν οὐκ ἔστι γένος τῶν γενικωτάτων, ἃ εἰσὶ καὶ πεπορασμένα τῇ εἰδίᾳ

διαιρεῖσθαι· ἢ γὰρ καὶ τὰ μέρη ἐστὶν ἀλλήλων διαφέροντα καὶ ὀνόμασι καὶ πράγμασι, καὶ κατὰ τοῦτο δόξει ἀνόμοια μορίε εἶναι τὸ ὄν, ἀλλ' οὕτω τῷ τοῦ ὅλου ὀνόματι τὰ μέρη προσαγορεύεται· ὃν χάριν ἐστὶ καὶ ἡ οὐσία, καὶ τὸ ποσὸν, καὶ τὸ ποιόν. τὰ δ' ἀνομοιομερῆ τῷ τοῦ ὅλου ὀνόματι οὐ προσαγορεύεται. Εἰ οὖν μήτε ὡς ὁμοιομερῆ, μήτε ὡς ἀνομοιομερῆ δυνατὸν τὸ ὂν εἰς τὰς δέκα κατηγορίας διαιρεῖσθαι, ἐδείχθη δὲ ὅτι οὔτε ὡς γένος εἰς εἴδη, λείπεται ἄρα ὡς φωνὴ ὁμώνυμος, εἰς διάφορα σημαινόμενα διαιρεῖσθαι.

» Ἀλλὰ καθάπερ ἐν ταῖς κατηγορίαις, τὰ πρῶτα
» δέκα γένη, ὅσον ἀρχαὶ δέκα πρῶτοι· καὶ δὴ πάντα τὰ
» ὄντα καλῇ, ὁμωνύμως, φησί, καλέσει, ἀλλ' οὐ συνωνύμως·
» ἐκεῖ γὰρ ἓν κοινὸν ἦν γένος πάντων, τὸ ὄν, συνωνύμως
» οὖν πάντα τὰ ὄντα ἐλέγετο· δέκα δὲ ὄντων τῶν πρώτων
» ἡ κοινωνία κατὰ τοὔνομα μόνον, οὐ μὴν καὶ κατὰ τὸν λό-
» γον τὸν κατὰ τοὔνομα.

Ὑποκείσθω φησὶν ὑμῶν ἀρχὰς εἶναι τῶν πραγμάτων, ἢ ὥσπερ γένη δέκα· τὸ γὰρ ἀποδεῖξαι ὅτι δέκα εἰσὶν αἱ ἀρχαὶ μόνον, ἄλλης ἐστὶ πραγματείας τελεσιουργός· ἐν γὰρ ταῖς κατηγορίαις τοῦτο δέδεικνυται, ὅτι δέκα εἰσί· νῦν δὲ ὑποκείσθω μόνον ὡς ὁμολογούμενον. καὶ δὴ πάντα τὰ ὄντα καλῇ, ὁμωνύμως, φησί, καλέσει, ἀλλ' οὐ συνωνύμως· Ὁμώνυμά ἐστι, τὰ ὀνόματος μόνου τοῦ αὐτοῦ κοινωνοῦντα, οὐκέτι δὲ καὶ τοῦ ὑπὸ τοῦ ὀνόματος πράγματος σημαινομένου τοῦ αὐτοῦ μετέχοντα, οἷον, ὁ ἀετὸς κύων, καὶ ὁ θαλάττιος, καὶ ὁ χερσαῖος· κοινωνοῦντες γὰρ τῷ ὀνόματι, διαφέρουσι τοῖς πράγμασι τοῖς ὑπὸ τὸ ὀνόματος σημαινομένοις. Συνώνυμα δέ ἐστιν, ὧν καὶ τὸ ὄνομα κοινὸν, καὶ ὁ κατὰ τὸ τοὔνομα ὁρισμός· οἷον, ὁ ἄνθρωπος καὶ ὁ ἵππος, ζῷα ἑκάτερα· καὶ γὰρ ὄνομα κοινὸν ἔχουσι τὸ τοῦ ζῴου, καὶ

αὐτῇ γὰρ ὑφεπόμενοι. καὶ αὖτε μὲν τὴν συμβεβηκότων αὐτῇ εἶναι οὐδὲ ποτε. τὰ δὲ συμβεβηκότα, οὐκ ἂν εἴη μὴ οὔσης αὐτῆς, ἢ καὶ συμβέβηκε. τὸ γὰρ συμβεβηκὸς τινί, προσεπιγουμένου ἔχει τὸ ὡς συμβέβηκεν. οὐκ ἄρα τὸ ὄν, ὡς γένος εἰς εἴδη διαιρεῖται εἰς τὰς δέκα κατηγορίας. οὐ γὰρ ἂν οὐσίας εἴδους ἀναιρεθέντος, ἀναιρεῖται τὸ γένος, ἃς ἐπώμεν. νῦν δὲ τῆς οὐσίας ἀναιρεθείσης, ἀναιροῦνται καὶ αἱ λοιπαὶ κατηγορίαι. συναίρεται γὰρ τὸ εἶναι ἐχουσιν. οὐκ ἄρα τὸ ὄν, ὡς γένος διαιρεῖται. Ὥστε οὐ δυνατὸν τὸ ὄν διαιρεῖσθαι εἰς τὰς δέκα κατηγορίας, ὡς γένος εἰς εἴδη. οὔτε ὅλον εἰς μέρη. τοῦτο γὰρ ἢ ὡς ὁμοιομερὲς, ἢ ὡς ἀνομοιομερὲς διαιρεῖται ὡς εἴρηται. καὶ ὁμοιομερὲς μέν ἐστι, τὸ ἔχον τὰ μέρη ὅμοια τῷ ὅλῳ, ὡς τὰ μέρη ὀνομάζεσθαι τῷ τοῦ ὅλου ὀνόματι, καὶ οὐδὲν ἀλλήλων διαφέρειν. τοῦ γὰρ ξύλου τὰ μέρη, ξύλον ἕκαστον προσαγορεύεται, καὶ οὐδὲν ἀλλήλων διαφέρει. ὁμοίως δὲ καὶ τοῦ ὕδατος τὰ μέρη, τῇ τοῦ ὅλου φωνῇ προσαγορεύεται, καὶ οὐδὲν ἀλλήλων διαφέρει. καὶ ἡ σὰρξ, καὶ ἡ φλὲψ. ἀδιαίρετον οὖν τὸ ὄν, ὡς ὁμοιομερὲς διαιρεῖται εἰς τὰς δέκα κατηγορίας. τὰ γὰρ μέρη, ἅ ἐστιν αἱ κατηγορίαι, ἃ καὶ τῇ τοῦ ὅλου προσηγορίᾳ προσαγορεύονται, καὶ ὄντα πᾶσαι καὶ λοιπαί, ἀλλ' οὖν ἀλλήλων πάντῃ διαφέρουσιν ὀνόμασι καὶ πράγμασι, καὶ οὐκ εἰσὶν ὅμοιαι ἀλλήλαις. ἄλλο γὰρ σημαίνει οὐσία, καὶ ἄλλο τὸ ποσόν. πάλιν τὸ ὡς ἀνομοιομερὲς διαιρούμενον, οὐκ ἔχει τὰ μέρη ὀνομαζόμενα τῇ τοῦ ὅλου προσηγορίᾳ. ἃ καὶ διαφέρει ἀλλήλων. ὅτι, τοῦ προσώπου τὰ μέρη, ἐστὶν ἡ ῥὶς, καὶ οἱ ὀφθαλμοί. ἃ οὔτε τῷ τοῦ ὅλου ὀνόματι προσαγορεύεται, οὔτε ἀλλήλοις ἐστὶν ὅμοια. οὐ γὰρ τὼ ῥῖνα ἐπώμεθα πρόσωπον, ἢ τὸν ὀφθαλμόν. οὐκ ἄρα οὐδὲ ὡς ἀνομοιομερὲς τὸ ὄν διαιρεῖται

ριῶν, διέξωμεν οὕτω. Πάντα τὰ διαιρούμενα, ἢ ὡς γένη εἰς εἴδη διαιρεῖται, ὡς ὅταν εἴπωμεν τοῦ ζώου τὸ μὲν, ἥμερον, ἵππον, τὸ δὲ, κώαν, τὸ δὲ, ἄνθρωπον. Ἢ ὡς ὅλον εἰς μέρη, καὶ τοῦτο διπλοῦν, ἢ γὰρ εἰς ὁμοιομερῆ διαιρεῖται, ἢ εἰς ἀνομοιομερῆ. καὶ εἰς ὁμοιομερῆ μὲν διαιροῦνται, οἷόν τε φλέβις, καὶ ἀρτηρία, καὶ ὀστοῦν, καὶ σάρκιον, ταῦτα γὰρ διαιρούμενα ἔχει τὰ μέρη, καὶ ἀλλήλοις ὅμοια, καὶ τῷ ὅλῳ. εἰς ἀνομοιομερῆ δὲ, ὡς ὅταν εἴπωμεν, ὅτι τοῦ σώματος τὸ μὲν, κεφαλὴ ἐστι, τὸ δὲ, χεὶρ, τὸ δὲ, πούς. Ἢ ὡς ὁμώνυμος φωνὴ εἰς διάφορα σημαινόμενα. ὡς ὅταν εἴπωμεν, τοῦ κυνὸς ὁ μὲν, ἐστὶ χερσαῖος, ὁ δὲ, θαλάττιος, ὁ δὲ, ἀστρῶος. Ἐπὰν οὖν διηρθρῶσθαι τὸ ὄν, οὔτε ὡς γένος εἰς εἴδη, οὔτε ὡς ὅλον εἰς μέρη διαιρεῖται εἰς τὰς κατηγορίας, λήπτεται ὡς ὁμώνυμον φωνὴν τμηνεῖται εἰς διάφορα σημαινόμενα. Ὅτι μὲν οὖν οὐ διαιρεῖται ὡς γένος εἰς εἴδη, σαφὲς ἐστιν ἐξ ἴσου πάρεστι, καὶ οὐ θεωρεῖται ἐν τοῖς εἴδεσιν ἐξ ἴσου τὸ πρῶτον καὶ τὸ ὕστερον κατὰ τὴν τοῦ γένους μετοχήν. οὐ δὲ, γὰρ μᾶλλον ὁ ἄνθρωπος τοῦ ἵππου ζῶον ἐστι, καὶ πρότερον. καὶ πάλιν ἀναιρεθέντος τοῦ εἴδους, οὐκ ἀνάγκη τὰ λοιπὰ εἴδη ἀναιρεθῆναι. ἀναιρεθέντος γὰρ τοῦ ἀνθρώπου οὐκ ἀναιρεῖται τὸ ζῶον, οὐδὲ τὰ λοιπὰ εἴδη, ἵππος, κὴ φυτὰ, καὶ κύων, κὴ τἄλλα. ἐπὰν τὸ ὂν διαιρεῖται εἰς τὰς δέκα κατηγορίας ὡς γένος εἰς τὰ εἴδη, οὐκ ἔδει εἶναι ἐν αὐταῖς τὸ πρῶτον καὶ τὸ δεύτερον, οὐδὲ τὸ μὲν αὐτῶν, μᾶλλον τοῦ ὄντος μετέχειν, τὸ δὲ, ἧττον. νῦν δὲ ἐστι τὸ πρῶτον καὶ τὸ ὕστερον. προτέραν γὰρ λέγομεν τὴν οὐσίαν, καὶ τὰ λοιπὰ καθεξῆς. εἶτε ἀναιρουμένης, συναναιρεῖται καὶ τὰ συμβεβηκότα. ὅθεν καὶ μᾶλλον αὐτὴν μετέχειν τοῦ ὄντος φαμὲν, ἅπερ ἡ οὐσία τοῖς συμβεβηκόσι τὸ εἶναι δίδωσι. ἐν

εἶδος ἐστὶ: καὶ ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο ἐπαναβεβηκὸς γένος, τί τε τὸ ἀδιαφορώτατον, ὅτι ὃ ἀδιάφορον, οὐκ ἔστι γένος, καὶ ὃ οὐκ ἂν ἔτι διελοίμεθα εἰς εἴδη, τί τε τὰ ὑπαλλήλα, ὅτι τὰ αὐτὰ καὶ γένη καὶ εἴδη τυγχάνει. πρὸς τούτων σῶν βέλη διαλιχθίσαι, καὶ σαφίσειας χάριν παραλαμβάνων παράδειγμα τὸ τῆς γενεαλογίας. φησὶ γὰρ ὅτι ὥσπερ τῶν γενεαλογιῶν ὁ ζεὺς ἀρχὴ τῆς ἐστι καὶ μόνος πατὴρ, οὐκέτι δὲ ἐ τύχοι, καὶ γὰρ, ὁ δὲ ἐρίσης ἐ τύχοι μόνον γὰρ, ὁ δ' ἀλαμέμνων, πατὴρ μὲν τοῦ ἐρίσου, γὰρ ᾗ τοῦ ἀτρέως, ὁ δὲ ἀτρεὺς, πατὴρ μὲν τοῦ ἀλαμέμνονος, γὰρ δὲ τοῦ πέλοπος, ὁ δὲ πέλοψ, γὰρ τοῦ ταντάλου, οὕτω καὶ τῶν τοῦ παρὰ τοῖς φιλοσόφοις γένους καὶ εἴδους. τὰ μὲν γὰρ ἐστι μόνως γένη, ὡς ἡ οὐσία, τὰ δὲ, μόνως εἴδη, ὡς ὁ ἄνθρωπος.

» Ἀλλ' ἐπὶ μὲν τῶν γενεαλογιῶν εἰς σῶν ἀνάγωμεν, φέ
» ρει εἰπεῖν τὸν δία, τιμῶ ἀρχικῶ. ὡς τοῦτο πλεῖον. τῶν δὲ τῶν
» γενῶν τε καὶ εἰδῶν οὐχ οὕτως ἔχει. οὐ γὰρ σόν ἐστι κοινὸν γέ
» νος πάντων, τὸ ὄν, οὐδὲ πάντα ὁμογενῆ καθ' σὸ τὸ ἀνθρωπί
» του γένος, ὡς φησιν ἀριστοτέλης.

Ἀπορίαν πινὰ ἴσως ἀνεκίνησεν ἡμῖν τὸ παράδειγμα, ἵν φθάσας ὁ πορφύριος λύσηται. ὑπέλαβε γὰρ ἄν τις μή ποτε ὡς τῶν γενεαλογιῶν οἱ σεμνοὶ ἡγεμόνες τῶν μίαν ἀρχικῶν ἀνατρέχουσι, φησὶν ἐπεῖν, τὸν δία, πάντων γὰρ τῶν ὄντων, ἡ μυθολογία πατέρα ἀνδρῶν τε καὶ θεῶν καλεῖ τὸν δία, οὕτω καὶ σὸ ταῦθα, πᾶσαι αἱ κατηγορίαι, τῶν μίαν πινὰ ἀρχικῶν ἀνατρέχουσιν, οἷον, τιμῶ τοῦ ὄντος. καὶ γὰρ ἡ οὐσία, ὄν ἐστι, καὶ τὸ ποσὸν, καὶ αἱ ἄλλαι κατηγορίαι. καὶ ἡ τοῦτο ἔτους ἔχει, οὐκέτι ἔσονται γένη δέκα γενικώτατα, ἀλλὰ τὸ ὂν πάντων ἓν κοινὸν γένος. τοῦτο σῶν τῶν μνημονεύσας ὁ φιλόσοφος φησὶ μὴ εἶναι τὸ ον γένος τῶν κατηγοριῶν. Ὅτι δὲ τὸ ὂν οὐκ ἔστι γένος τῶν δέκα κατηγο-

τῶν ἀτόμων, καὶ ἔστιν εἶδος μόνον· ὥστε ταῦτα δύο ἔχει αἰσθήσεις. ἡ δὲ οὐσία, μίαν ἔχει αἴσθησιν τὴν πρὸς τὰ μετ' αὐτήν· τὴν γὰρ πρὸς τὰ πρὸ αὐτῆς, οὐκέτι ἔχει· ἡ δὲ χάρις ἐστὶ τῶν ἀγνώτερον τῆς οὐσίας· πάλιν τὸ εἶδος μίαν ἔχει αἴσθησιν τὴν πρὸς τὰ πρὸ αὐτό. τὴν γὰρ πρὸς τὰ μετ' αὐτὸ, οὐκέτι ἔχει· εἰδὴν χάριν ἐστὶ μετ' αὐτὸ εἶδος. τὰ δὲ μέσα, δύο ἔχει αἰσθήσεις· τήν τε πρὸς τὰ πρὸ αὐτῶν, καθ' ὃ εἴδη αὐτῶν εἶναι λέγεται, καὶ τὴν πρὸς τὰ μετ' αὐτὰ, καθ' ὃ γένη λέγεται. κατὰ τὴν πρώτην οὖν αἴσθησιν, εἴδη λέγεται· κατὰ δὲ τὴν δευτέραν, γένη· τὰ δὲ ἄκρα, μίαν ἔχει αἴσθησιν, τό, τε γενικώτατον, καὶ τὸ εἰδικώτατον· ἀλλὰ καὶ τῶν ἀτόμων εἶδος λέγεται· ἔχει γὰρ καὶ τὸ εἰδικώτατον εἶδος αἴσθησιν τινὰ πρὸς αὐτὰ τὰ ἄτομα· ἀλλ' οὐ τὴν αὐτὴν ἔχει αἴσθησιν καὶ τὰ πρὸ αὐτοῦ· ὁ γὰρ ἄνθρωπος, σωκράτους καὶ πλάτωνος οὐ λέγεται γένος, ἀλλ' εἶδος, ὡς περιέχον τὰ ἄτομα·

» Ἀφορίζονται τοίνυν τὸ μὲν γενικώτατον, οὕτως· ὃ γένος ὂν, οὐκ ἔστιν εἶδος· καὶ πάλιν, ὑπὲρ ὃ οὐκ ἀνεύρηται ἄλλο ἔτι ναβεβηκὸς γένος· τὸ δὲ εἰδικώτατον, ὃ εἶδος ὂν, οὐκ ἔστι γένος· καὶ ὃ εἶδος ὂν, οὐκ ἂν διελοίμεθα εἰς εἴδη· ἔτι δὲ καὶ, ὃ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ καὶ τῷ τί ἐστι κατηγορεῖται· τὰ δὲ μέσα τῶν ἄκρων ὑποδιαίρετα καλοῦσιν εἴδη καὶ γένη· καὶ ἕκαστον αὐτῶν εἶδος εἶναι καὶ γένος τίθενται, πρὸς ἄλλο μέντοι καὶ ἄλλο λαμβανόμενον· τὰ γὰρ πρὸ τῶν εἰδικωτάτων, ἄχρι τοῦ γενικωτάτου ἀνιόντα γένη τε λέγεται καὶ εἴδη, καὶ ὑποδιαίρετα γένη· ὡς ὁ ἀναμίμνων, ἀτρείδης, καὶ πελοπίδης, καὶ παντανταλίδης, καὶ τὸ πελοφ ταῦον διός·

Εἰρηκὼς τὸ γενικώτατον γένος, καὶ τὰ ὑποδιαίρετα, καὶ τὸ εἶδος τὸ εἰδικώτατον, νῦν λοιπὸν ὑπογράφει αὐτὰ, καὶ φησί τι μέν ἐστι γενικώτατον γένος, ὅπερ ὃ γένος ὄν, οὐκέτι τῷ

Ε'πὶ πασῶν γὰρ τῶν κατηγοριῶν ἐστὶ καὶ γένη καὶ εἴδη· ἀλλ' ἡ μὲν οὐσία, γένος ἐστὶ γενικώτατον· ὑπὸ δὲ ταύτην, ἐστὶ τὸ σῶμα· καὶ ὑπὸ τὸ σῶμα, τὸ ἔμψυχον. τοῦτο γὰρ τὸ μέρος ἔλαβε τὸ τῆς διαιρέσεως, παραλήψασ τὸ τοῦ σώματος. ἐπειδὴ τὰ αἰσθητὰ γνωριμώτερα ἡμῖν· καὶ ὑπὸ τὸ ἔμψυχον, τὸ ζῶον· καὶ ὑπὸ τοῦτο, τὸ λογικόν· καὶ ὑπὸ τοῦτο, ὁ ἄνθρωπος. ἀλλ' ἔστιν ἡ μὲν οὐσία, τὸ γενικώτατον, καὶ ὁ μόνον ἐστὶ γένος, οὐδὲν γὰρ ἐστὶ πρότερον οὐσίας. ὁ δὲ ἄνθρωπος, εἰδικώτατον, καὶ ὁ μόνον εἶδος, οὐδὲν γὰρ ἐστὶ μετὰ τὸν ἄνθρωπον ἢ τοῖς καθ' ἕκαστον. τὸ δὲ σῶμα, ἐστὶ καὶ γένος, καὶ εἶδος, ἀλλὰ εἶδος μὲν τῆς οὐσίας, γένος δὲ τοῦ ἐμψύχου. τὸ δὲ ἔμψυχον, εἶδος μέν ἐστι τοῦ σώματος, γένος δὲ τοῦ ζώου. ζῶον γὰρ λέγομεν τὸ ἔμψυχον, καὶ τὸ αἰσθήσεως μετέχον. ἔμψυχον δέ ἐστι, τὸ τρεφόμενον καὶ αὐξανόμενον, καὶ γεννῶν ὅμοιον ἑαυτῷ. τὰ δὲ φυτὰ τούτων μετέχοντα τὴν δυνάμεων, ἔμψυχα μέν ἐστιν, οὐ μέντοι ζῶα. τὰ δὲ ὄστρεα καὶ οἱ σπόγγοι, ἔμψυχά πως ἐστί, καὶ πρὸς τούτοις μετέχει τῆς αἰσθητικῆς δυνάμεως· προσίονται γὰρ αὐτοῖς τινος ἀντιτύπου συνέλκοντα, ἀπόντος δὲ ἥδονῆ· καὶ κατά τι μὲν τοῖς φυτοῖς ὁμοῖα ἐστὶ τὸ ἐρρίζωθαι, κατά τι δὲ τοῖς ζώοις, τὸ αἰσθάνεσθαι καὶ τρέφεσθαι. πάλιν τὸ ζῶον, εἶδος μὲν τοῦ ἐμψύχου, γένος δὲ τοῦ λογικοῦ καὶ τὸ λογικὸν, γένος μὲν τοῦ θνητοῦ, εἶδος δὲ τοῦ ζώου· καὶ τὸ θνητὸν, εἶδος μὲν τοῦ λογικοῦ, γένος δὲ τοῦ ἀνθρώπου· ὁ δὲ ἄνθρωπος, εἶδος μὲν τοῦ λογικοῦ, οὐκέτι δὲ γένος σώκρατους, ἢ πλάτωνος· καὶ πᾶν τὸ πρὸ τῶν ἀτόμων προσιχῶς κατηγορούμενον, εἶδος μὲν ἀνθρώπου μόνον, οὐκέτι δὲ καὶ γένος. Προσιχῶς φησιν, ἀντὶ τοῦ εὐθέως, καὶ ἀμέσως. ἐστὶ γὰρ πρὸ τῶν ἀτόμων καὶ τὸ ζῶον, ἀλλ' οὐκ ἀμέσως, ἀλλὰ διὰ μέσου τοῦ ἀνθρώπου· ὁ δὲν ἄνθρωπος, προσιχῶς ἐστι

» ἀλλὰ τούτων ἡ μὲν οὐσία, τὸ γενικώτατον, καὶ ὃ μόνον γέ
» νος· ὁ δὲ ἄνθρωπος τὸ εἰδικώτατον, καὶ ὃ μόνον εἶδος· τὸ
» δὲ σῶμα, εἶδος μὲν τῆς οὐσίας, γένος δὲ τοῦ ἐμψύχου σώ
» ματος· ἀλλὰ καὶ τὸ ἔμψυχον σῶμα, εἶδος μὲν τοῦ σώμα
» τος, γένος δὲ τοῦ ζώου. πάλιν τὸ ζῷον, εἶδος μὲν τοῦ ἐμψύ
» χου σώματος, γένος δὲ τοῦ λογικοῦ ζώου. τὸ δὲ λογικὸν ζῶ
» ον, εἶδος μὲν τοῦ ζώου, γένος δὲ τοῦ ἀνθρώπου· ὁ δὲ ἄν
» θρωπος εἶδος μὲν τοῦ λογικοῦ ζώου, οὐκέτι δὲ καὶ γένος τῶν
» κατὰ μέρος ἀνθρώπων, ἀλλὰ μόνον εἶδος· καὶ πᾶν τὸ πρὸ
» τῶν ἀτόμων προσηχῶς κατηγορούμενον, εἶδος ἂν εἴη μόνον,
» οὐκέτι δὲ καὶ γένος· ὥσπερ οὖν ἡ οὐσία ἀνωτάτω οὖσα,
» τῷ μηδὲν εἶναι πρὸ αὐτῆς, γένος ἐστὶ γενικώτατον, οὕτω καὶ ὁ
» ἄνθρωπος εἶδος ὤν· μεθ' ὃν οὐκ ἔστιν ἄλλο εἶδος, ἀκέπι τῶν
» μυρίων δυναμένων εἰς εἶδη, ἀλλὰ τῶν ἀτόμων, ἄτομον γὰρ
» Σωκράτης, καὶ Πλάτων, καὶ τοῦτο τὸ λευκὸν, μόνον ἂν εἴη
» εἶδος, καὶ τὸ ἔσχατον εἶδος, καὶ ὡς ἔφαμεν τὸ εἰδικώτατον.
» τὰ δὲ μέσα, τῶν μὲν πρὸ αὐτῶν εἴη ἂν εἴδη, τῶν δὲ μετ' αὐτά,
» γένη. ὥστε ταῦτα μὲν ἔχει δύο σχέσεις, τήν τε πρὸς τὰ
» πρὸ αὐτῶν, καθ' ἣν εἶδη αὐτῶν εἶναι λέγεται, τήν τε πρὸς
» τὰ μετ' αὐτά, καθ' ἣν γένη αὐτῶν εἶναι λέγεται· τὰ δὲ ἄκρα
» μίαν ἔχει σχέσιν· τό, τε γὰρ γενικώτατον, τῶν μὲν ὡς πρὸς
» τὰ ὑφ' αὐτὸ ἔχει σχέσιν, γένος ὂν πάντων τὸ ἀνώτατον, τῶν
» δὲ ὡς πρὸς τὰ πρὸ αὐτοῦ οὐκέτι ἔχει, ἀνώτατον ὄν, καὶ πρώ
» την ἀρχὴν, καὶ ὡς ἔφαμεν, ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο γένος ἐπα
» ναβεβηκός· τὸ εἰδικώτατον δὲ μίαν ἔχει καὶ αὐτὸ σχέ
» σιν, τὴν μὲν ὡς πρὸς τὰ πρὸ αὐτοῦ, ὧν ἐστιν εἶδος, τὴν δὲ ὡς
» πρὸς τὰ μετ' αὐτὸ, οὐκ ἀλλοίαν ἔχει σχέσιν, ἀλλὰ τὴν αὐτὴν,
» καὶ γὰρ τῶν ἀτόμων εἶδος λέγεται· ἀλλ' εἶδος μὲν λέγεται
» τῶν ἀτόμων, ὡς περιέχον αὐτὰ, εἶδος δὲ πάλιν τῶν πρὸ
» αὐτοῦ, ὡς περιεχόμενον ὑπ' αὐτῶν·






Digitized by Google

ἀτόμων ἐστὶ ποιοτικόν. λήπτεον ἄρα τὸν ἄνθρωπον εἶδος ἀδιαίρετον εἶναι. φησὶν οὖν ὅτι ἡ τοῦ εἴδους ἀποδοθεῖσα ὑπογραφὴ ὑστέρα, οὐ παντὶ εἴδει ἐφαρμόζει. οὐ γὰρ δὴ καὶ τῷ ζώῳ, καὶ τῷ ἐμψύχῳ, ἀλλὰ μόνοις τοῖς εἰδικωτάτοις εἴδεσιν, ὁίῳ, ἀνθρώπῳ, καὶ ἵππῳ, καὶ κυνί, ἃ μόνως ἐστὶν εἴδη.

» Γενέσθω δὲ ὧν μιᾶς κατηγορίας σαφὴς τὸ λεγόμενον. » ἡ οὐσία ἐστὶ μὲν καὶ αὐτὴ γένος. ὑπὸ δὲ ταύτην ἐστὶ σῶ» μα. καὶ ὑπὸ τὸ σῶμα, ἔμψυχον σῶμα. ὑφ' ὃ, τὸ ζῶον. » ὑπὸ δὲ τὸ ζῶον, λογικὸν ζῶον· ὑφ' ὃ, ὁ ἄνθρωπος. ὑπὸ δὲ » τὸν ἄνθρωπον, σωκράτης, καὶ πλάτων, καὶ οἱ κατὰ μέ» ρος ἄνθρωποι.

τοις. ἵνα δὲ μάθωμεν πηλίκα ἐστὶ τὰ εἰδικώτατα εἴδη, μέχρι
του διαιρέσεως τοιαύτης· τῆς οὐσίας τὸ μὲν, ἐστὶ σῶμα, τὸ δὲ
ἀσώματον. Καὶ τοῦ σώματος τὸ μὲν, ἐστὶν ἔμψυχον, τὸ
δὲ ἄψυχον. Καὶ τοῦ ἐμψύχου τὸ μὲν, ζῶον, τὸ δὲ, ζώου
φυτον, τὸ δὲ, φυτόν. τὸ μὲν γὰρ φυτὸν τὰς τρεῖς ἔχει ταύ
τας δυνάμεις μόνον, θρεπτικὴν, αὐξητικὴν, γονιμικήν. τὸ
δὲ ζῶον πρὸς ταύταις ἔχει καὶ τὴν αἰσθητικὴν δύναμιν, καὶ
τὴν μεταβατικὴν τὴν ἀπὸ τόπου εἰς τόπον. τὸ δὲ ζῶόφυ
τον μέσον ἐστὶν ἀμφοτέρων, ἔχει γὰρ πρὸς ταῖς τρισὶ δυνά
μεσι, καὶ τὴν ἀπτικὴν αἴσθησιν. οὐκέτι μέντοι ἐκ τόπου εἰς
τόπον ἀμείβει, οἱ δὲ ἐπὶ τὰ ὄρεια, καὶ οἱ ἀπόγονοι. προσε
φύκασι μὲν ταῖς πέτραις, προσιόντος δέ τινος αὐτύπτα
συσέλλονται μὲν, ἡδέως δὲ διαχέονται. Πάλιν δὲ τοῦ
ζώου τὸ μὲν, ἐστὶ λογικὸν, τὸ δὲ, ἄλογον. Καὶ τοῦ λογικοῦ,
τὸ μὲν, θεὸς, τὸ δὲ ἄνθρωπος. Πάλιν δὲ τῶν ἀνθρώπων,
τὸ μὲν, ἐστὶ σωκράτης, τὸ δὲ, πλάτων, καὶ οἱ κατὰ μέρος.
ἀλλ' οὐδεὶς τοῖς φιλοσόφοις λόγος τούτων, καθὰ πολλάκις
εἴρηται. Ἐν ταύτῃ οὖν τῇ διαιρέσει, πρώτη ἐστὶν ἡ οὐσία.
ὕστερον δὲ, ὁ ἄνθρωπος. τὰ δὲ καλούμενα ὑπάλληλα; μέ
σα, ἃ καὶ γένη καὶ εἴδη πρὸς ἄλλο καὶ ἄλλο. λέγεται οὖν
ἡμὲν οὐσία, γένος γενικώτατον, ὁ δὲ ἄνθρωπος, εἶδος
εἰδικώτατον, τὰ δὲ λοιπὰ, καὶ γένη καὶ εἴδη πρὸς ἄλ
λο καὶ ἄλλο παραλαμβανόμενα. τὸ γὰρ σῶμα, εἶδος
μὲν ἐστὶ τῆς οὐσίας, γένος δὲ τοῦ ἐμψύχου. καὶ τὸ
ἔμψυχον, εἶδος μὲν τοῦ σώματος, γένος δὲ τοῦ ζώου.
καὶ τὸ ζῶον, εἶδος μὲν τοῦ ἐμψύχου, γένος δὲ τῶν ἀν
θρώπων. ὁ δὲ ἄνθρωπος, εἶδος μὲν τοῦ ζώου, οὐκέτι δὲ
καὶ γένος φησί, κατηγορεῖται γὰρ οὐ διαφερόντων τῷ εἴ
δει, ἀλλὰ τῷ ἀριθμῷ, οἷον, σωκράτους, ἀλκιβιάδου. ὃκ
ἔστιν οὖν γένος, ἀλλ' οὐδὲ ἄτομον, ἐπειδὴ τῶν κατὰ μέρος

Πορφύριος κέχρηται· οὐκέτι γὰρ χώραν ἔχει ἡ ὕλη τοῦ γένους ῥηθεῖσα αἰτία, ἔχει γὰρ τὸ εἶδος, κἀνταῦθα τοίνυν καὶ τὴν ἀκριβεστάτην καὶ κοινὴν αἰτίαν, ὅτι οἱ ὁρισμοὶ πραγμάτων εἰσὶν ὁρισμοὶ τὰς φύσεις αὐτῶν δηλοῦντες, τὰ δὲ γένη καὶ τὰ λοιπὰ, οὐκ εἰσὶ πράγματα, οὐ δὲ ἀφωρισμένην φύσιν ἔχει, διὸ οὐ δὲ ὑπὸ μίαν πινὰ ἀνάγεται τῶν κατηγοριῶν, ἀλλ' ἐπάσας θεωρεῖται, καὶ γὰρ ἐπὶ τῆ οὐσία, καὶ ἐπὶ τῷ ποιῷ, καὶ ἐπὶ τῷ ποσῷ, καὶ ἐπὶ τοῖς λοιποῖς κατηγορίαις εἰσὶ καὶ γένη, καὶ εἴδη, καὶ διαφοραί· διὸ οὐκ εἰσὶ πράγματα, ἀλλὰ σχέσεις πραγμάτων δηλωτικαί· ἐπεὶ δὲ οἱ ὁρισμοὶ ὡς εἴρηται, πραγμάτων εἰσὶν, αὐτοὶ δὲ αἱ φωναὶ οὐκ εἰσὶ πράγματα, εἰκότως οὐ δὲ ὁρισμοὺς αὐτῶν δυνατὸν ἀποδοῦναι· ἕτεραν οὖν ὑπογραφὴν ἀποδίδωσι τοῦ εἴδους, ὁμοίαν τῇ προλελεγμένῃ τῇ ἀπὸ τοῦ γένους ἀποδοθείσῃ·

» Εἶπε δὲ καὶ οὕτως, εἶδός ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ τὸ τῷ τί ἐστι κατηγορούμενον· ἀλλ' αὕτη μὲν ἀπόδοσις τοῦ εἰδικωτάτου ἂν εἴη, καὶ ὃ ἔστι μόνον εἶδος, οὐκέτι δὲ καὶ γένος· αἱ δ' ἄλλαι, ἐὰν ὦσι καὶ τῶν εἰδικωτάτων· σαφὲς δ' ἂν εἴη τὸ λεγόμενον, τοῦτον τὸν τρόπον· καθ' ἑκάστην κατηγορίαν ἔστι πινὰ γενικώτατα, καὶ πάλιν ἄλλα εἰδικώτατα, καὶ μεταξὺ τῶν γενικωτάτων καὶ τῶν εἰδικωτάτων ἄλλα, ἃ καὶ γένη καὶ εἴδη λέγεται τὰ αὐτά· ἔστι δὲ γενικώτατον μὲν ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο ἐπάναβιβικὸς γένος, εἰδικώτατον δὲ μεθ' ὃ οὐκ ἂν εἴη ἄλλο ὑποβιβικὸς εἶδος, μεταξὺ δὲ τοῦ γενικωτάτου καὶ εἰδικωτάτου ἄλλα, ἃ καὶ γένη, καὶ εἴδη ἐστὶ τὰ αὐτὰ, πρὸς ἄλλα μέντοι καὶ ἄλλα λαμβανόμενα·

Αὕτη ἡ ὑστέρα, φησὶν, ἀποδοθεῖσα τοῦ εἴδους ὑπογραφὴ, οὐ παντὶ εἴδει ἐφαρμόζει, ἀλλὰ μόνοις τοῖς εἰδικωτάτοις

γὰρ τῇ τοῦ γένους διδασκαλίᾳ περιέλαβε τὸ εἶδος, καὶ πάλιν ἐν τῇ τοῦ εἴδους τὸ γένος, ὅπερ οὔπω ἴσως εἰρέθη, αὐτὸς φθάσας ἀπελογίσατο. ἔφησι γὰρ ὅτι τὸ γένος, εἴδους ἐστὶ γένος. καὶ τὸ εἶδος, γένους ἐστὶν εἶδος. ἀνάγκη τοίνυν διδάσκοντα περὶ γένους μνημονεῦσαι καὶ τοῦ εἴδους, καὶ περὶ τοῦ εἴδους λέγοντα μνημονεῦσαι καὶ τοῦ γένους. τὰ γὰρ πρός τι, καὶ ἅμα συνυφίσταται, καὶ ἅμα γνῶται. τὸ γὰρ γένος πρός ἐστι γένος, τουτέστιν, εἴδους, καὶ τὸ εἶδος πρός ἐστιν εἶδος, τουτέστι, γένους. καὶ ἀδύνατον τούτων θάτερον χωρὶς θατέρου γνῶναι. ὥστε ἀνάγκη τὸν περὶ θατέρου τούτων διδασκαλίαν ποιούμενον, καὶ τοῦ λοιποῦ μνημονεῦσαι. ὁ γὰρ τὸ ἕτερον τῇ πρός τι ἀγνοῶν, οὐδὲ τὸ λοιπὸν εἴσεται.

Ἀποδιδόασιν οὖν τὸ εἶδος καὶ οὕτως, εἶδος ἐστὶ τὸ ταὐτὸ μεσον ὑπὸ τὸ γένος, καὶ οὗ τὸ γένος ἐν τῷ τί ἐστι, κατηγορεῖται.

Δύο ὑπογραφὰς ἀποδίδωσι τοῦ εἴδους, τῷ μὲν ὑποκειμένῳ τὰς αὐτὰς, ἀμφότερα γὰρ κατὰ πλειόνων κατηγορεῖται, τῇ σχέσει δὲ διαφέρουσιν, ὡς ἡ ἀνάβασις καὶ ἡ κατάβασις, τῷ μὲν ὑποκειμένῳ μία οὖσα, τῇ δὲ σχέσει διάφοροι. ἀνιὼν γὰρ ἀνέρχομαι, καταβὰς αὐτὴν λέγομαι, κατιὼν δὲ, ἀναβασιν. ὡσαύτως καὶ σὺ ταύτας σχέσεις εἰσὶ δύο, τοῦτο εἶδους πρὸς τὸ γένος, καθὰ ὑπ' αὐτό ἐστι, καὶ τὸ γένους πρὸς τὸ εἶδος, καθὰ περιεκτικὸν αὐτοῦ ἐστι. καὶ ἔοικεν ἡ σχέσις ἡ ἀπὸ τοῦ γένους ὧν τὸ εἶδος, καταβάσει· ἡ δὲ ἀπὸ τοῦ εἴδους ὧν τὸ γένος, ἀναβάσει καὶ αὗται μὲν ὁλοχερέσιν ὑπογραφαί· ἐξῆς δὲ τὴν πλείαν ὑπογραφὴν ἀποδίδωσι, τὴν ἀπὸ τῆς διαιρέσεως τῶν φωνῶν ληφθεῖσαν, ὅτι εἶδος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι, κατηγορούμενον. Ἄξιον δὲ ζητῆσαι, διὰ τί αἰτίαν καὶ ὧν τοῦ εἴδους, ὑπογραφὴν

βαίνετο, σαφὲς ποιοῦσα τῷ σὺ παῖξεν προτάσεως παραλαμβάνειν· τὴν δὲ πρότασιν ἰδὼν ὡς ὁμολογουμένην πρὶν ἐλαμβάνομεν, νῶν ἄδηλον συμπέρασμα ποιοῦσα. Πάλιν αὖ βουληθέντες δεῖξαι, ὅτι ἥδε ἡ γυνὴ γάλα ἔχει, ἐπῶμεν ὅτι ἥδε ἡ γυνὴ τέτοκεν, ἡ δὲ τέτοκυῖα, γάλα ἔχει, ἥδε ἄρα ἡ γυνὴ γάλα ἔχει. βουληθέντες δὲ αὐτὸ τοῦτο δεῖξαι πάλιν ὅτι τέτοκεν, ἐπῶμεν, ἥδε ἡ γυνὴ γάλα ἔχει, ἡ γάλα ἔχουσα, τέτοκεν, ἥδε ἄρα ἡ γυνὴ τέτοκεν. σὺ ταῦθα δὲ πάλιν τὰ αὐτὰ τῶν αὐτῶν καὶ πρότερα ἐλάβομεν, καὶ ὕστερα; καὶ σαφέστερα, καὶ ἀσαφέστερα. πρότερον γὰρ ἐλαμβάνομεν σαφὲς μὲν καὶ πρότερον, τὸ τέτοκέναι, ἀσαφὲς δὲ καὶ ὕστερον, τὸ γάλα ἔχειν. ὕστερον δὲ ἐλάβομεν σαφὲς μὲν καὶ πρότερον, τὸ γάλα ἔχειν, ἀσαφὲς δὲ καὶ ὕστερον, τὸ τετοκέναι. ὥστε σὺ τῇ τοιαύτῃ δείξει τὰ αὐτὰ τῶν αὐτῶν καὶ πρότερα λαμβάνεται καὶ ὕστερα, καὶ σαφέστερα καὶ ἀσαφέστερα. Πᾶσα γὰρ δεῖξις, ἢ ἐκ τοῦ ἀσαφοῦς τὸ σαφὲς ἀποδείκνυσιν, ἢ ἐμπαλιν ἐκ τοῦ σαφοῦς τὸ ἀσαφές, ἢ ἐκ τοῦ ἀσαφοῦς τὸ ἀσαφές, ἢ ἐκ τοῦ σαφοῦς τὸ σαφές. καὶ ἄδηλον ὅτι μόνη κυρίως ἐστὶ δεῖξις, ἢ ἐκ τοῦ σαφοῦς δεικνύουσα τὸ ἀσαφές. αἱ δὲ ἄλλαι τρεῖς, ψεκταί, καὶ οὐδ' ὅλως δείξεις καλοῦνται. οὐ γὰρ δίδόν τι τὸ σαφὲς ἐκ τοῦ ἀσαφοῦς δηλωθῆναι, οὐδὲ τὸ ἀσαφὲς ἐκ τοῦ ἀσαφοῦς. ἀλλ' οὐδὲ τὸ σαφὲς δείξεως δεῖται, ἵνα ἐξ ἄλλου σαφοῦς δηλωθῇ. πολλῷ δὲ μᾶλλον ἀτοπώτερον, τὸ ἐκ τῶν ἀσαφῶν τὰ σαφῆ λέγειν δεικνύναι. μία δὲ μόνη ἐστὶ κυρίως δεῖξις, ἢ ἐκ τοῦ σαφοῦς τὸ ἀσαφὲς δεικνύουσα. εἰκότως ἄρα ἡ διάλληλος διαβέβληται δεῖξις, τὰ σαφῆ καὶ πρῶτα ἀσαφῆ ποιοῦσα καὶ ὕστερα, καὶ ἐμπαλιν τὰ ἀσαφῆ καὶ ὕστερα σαφῆ καὶ πρῶτα ποιοῦσα. Ἐπὶ δὲ ὧν ὁ φιλόσοφος πορφύριος ἔθετο ἑαυτοῦ τῇ διαλλήλῳ δείξει κεχρημένος, σὺ τι

Digitized by Google

μνήμενα, ἀπόντες τὸ κατὰ πλειόνων καὶ διαφέροντων τῷ
εἴδει σὺν τῷ τί ἐστιν, κατηγορούμενον, καὶ τὸ εἶδος ὁριζόμε-
νοι, παλιν γένους ἐμεμνήμεθα, φάσκοντες, εἶδος ἐστὶ καὶ τὸ
ποπόμενον ὑπὸ τὸ ἀποδοθὲν γένος, μηδὲν μέμψοιτο.
κατὰ ἀλήθειαν γὰρ ταῦτα λέγων ὁ πορφύριος, νομίζεται
τῇ διαλλήλῳ δείξει κεχρῆσθαι. ἡ δὲ διάλληλος δεῖξις, δια
βέβληται παρὰ τοῖς φιλοσόφοις, ὡς τὰ αὐτὰ καὶ πρῶτα
καὶ δύτερα ποιοῦσα, καὶ ἀμείβουσα τὴν τάξιν τῶν προ
τάσεων καὶ τῶν συμπερασμάτων, ποιεῖ γὰρ τὸ μὲν δύτε
ρον, πρῶτον, καὶ τὸ πρῶτον, δύτερον, καὶ τὰ αὐτὰ τῶν αὖ
τῶν σαφέστερά τε ποιῇ, καὶ ἀσαφέστερα. οἷον, ἐὰν εἴ
πῃ μοί τις, ὅτι ἡ ψυχὴ ἀθάνατος, λέγω αὐτῷ, ναί. πῶς;
ὅτι ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον, ἀεικίνητον, τὸ ἀει
κίνητον, ἀθανάτον, ἡ ψυχὴ ἄρα ἀθάνατος. ἐὰν δὲ εἴπῃ
μοι, πόθεν δῆλον ὅτι αὐτοκίνητος ἡ ψυχὴ; ἅτε τοῦτο δεῖ
ξαι βουλόμενος εἶπω. ὅτι ἡ ψυχὴ ἀθάνατος, τὸ ἀθάνατον,
ἀεικίνητον, τὸ ἀεικίνητον, αὐτοκίνητον, ἡ ψυχὴ ἄρα αὐτο
κίνητος. ἡ τοιαύτη δεῖξις, διάλληλος λέγεται. βουλόμενος
γὰρ δεῖξαι, ὅτι ἡ ψυχὴ ἀθάνατος, ἔλαβον τὸ αὐτοκίνητον
πρῶτον, συμπέρανα δὲ τὸ ἀθάνατον, βουλόμενος δὲ πάλ
λιν δεῖξαι, ὅτι ἡ ψυχὴ αὐτοκίνητος, ἔλαβον πρῶτον τὸ ὕσε
ρον λιχθὲν, τὸ ἀθάνατον, καὶ συμπέρανα ὅτι αὐτοκίνη
τος, τὸ πρῶτον ὕστερον ποιήσας. ὥστε διάλληλος δεῖξις ἐστὶν,
ἡ τὰς προτάσεις συμπέρασματα ποιοῦσα, καὶ πάλιν, τὰ
συμπεράσματα ποιοῦσα προτάσεις. ὅθεν καὶ διαβέβληται.
πᾶσα γὰρ ἀπόδειξις τὰς μὲν προτάσεις σαφεῖς καὶ ὁμολο
γουμένας λαμβάνει, τὸ δὲ συμπέρασμα ἀσαφὲς ὂν σαφη
νίζει καὶ φανερὸν ποιεῖ διὰ τῶν προτάσεων. εἰκότως οὖν
διαβολῆς ἄξια ἡ τὴν τάξιν τούτων ἀντιστρέφουσα. καὶ
τὸ μὲν συμπέρασμα ὅπερ πρότερον ὡς ἀσαφὲς ἐλαμ-

ρομήκους, εἰ ἐπερόμηκες τὸ τῶι μίαν ἔχον πλευρὰν διπλασίονα τῆς ἑτέρας διέλωμεν δίχα εἰς δύο τετράγωνα.

Ἀλλὰ δὴ καὶ ἡ τοῦ κύκλου τῶι διαμέτρου τὶς ἀλόγη. διαιρήσεται κύκλον εἰς δύο ὁμοκύκλια, τό, τε α, καὶ τὸ β. καὶ δῆλον ὅτι ἕκαστον τῶν ἡμικυκλίων, ἁρμὰ ἐστιν ἐκ περιφερείας τε τοῦ ἡμικυκλίου γραμμῆς. καὶ εὐθείας τῆς διαμέτρου συγκείμενον. ὥστε συμβήσεται τὸ ἁπλοῦν ἁρμὰ τῶν κύκλων ἐκ μικτῶν ἡμικυκλίων συγκεῖσθαι, καὶ τοῦ ἁπλοῦ, λέγω τοῦ κύκλου, πρῶτον φύσει ἔσεσθαι τὸ μικτόν. ὡς περ οὖν τῶν ἐπίπεδα ἡμιτέρατα τῶι τοιαύτην ποιεῖται διαίρεσιν, καὶ οὐχὶ διὰ τοῦτο ἀνάγκη τοῦ τετραγώνου πρῶτα εἶναι τῇ φύσει τὰ ἐπερόμηκη, ἐπεὶ δὴ καὶ τὰ ἐπερόμηκη ἐνδέχεται διελεῖν εἰς δύο τετράγωνα, ἢ περ ἡ ἑτέρα τῶν πλευρῶν διπλασίων ἐστὶ τῆς ἑτέρας. Εἰ γοῦν πάλιν τοῦ κύκλου τὰ μικτὰ ἁρμάτα ἐξ εὐθειῶν καὶ περιφερειῶν συγκείμενα πρῶτά ἐστιν, οὕτω δὴ τὸ τετράγωνον ἐνδέχεται, τῇ διαμέτρωι εἰς δύο τρίγωνα διελεῖν, ἢ διὰ τοῦτο καὶ ἐκ τριγώνων αὐτὸ συγκεῖσθαι ἀνάγκη, καὶ πρῶτα εἶναι αὐτοῦ τῇ φύσει τὰ τρίγωνα. Καλῶς ἄρα ὁ πορφύριος γένος ἔφη εἶναι τοῦ τετραγώνου τὸ ἁρμα.




» Εἰ δὲ καὶ τὸ γένος ἀποδιδόντες, τοῦ εἴδος ἐμεμνήμεθα, ἐπόντες τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, καὶ τὸ εἶδος φαμὲν τὸ κατὰ μόνον ὑπὸ τὸ ἀποδοθὲν γένος, εἰδέναι χρὴ, ὅτι ἐπεὶ καὶ τὸ γένος πινὸς ἐστιν γένος, καὶ τὸ εἶδος πινὸς ἐστιν εἶδος, ἑκάτερον ἑκατέρου, ἀνάγκη καὶ ἐν τοῖς ἀμφοτέρων λόγοις κεῖσθαι ἀμφοτέρους.

Εἰ δέ, φησι, καὶ τὸ γένος ἀποδιδόντες τοῦ εἴδους ἐμεμνήμεθα,

τριγώνου τοῦ αχήματος εἶδος. πρὸς τοῦτο πάντες ἠπόρησαν ἀπολογίας οἱ ἐξηγηταὶ, καὶ φασὶν αὐτὸν ὑποδείγματος χάριν καταχρηστικώτερον γένος καλέσαι τοῦ τριγώνου τὸ αχῆμα. Ἐπλυόμεσθαι δὲ ἡμῖν τὴν ἀπορίαν φαμὲν, ὅτι ἐμὲν στοιχεῖα ἐστὶ τῷ ὄντι τοῦ τετραγώνου τὰ τρίγωνα, ὡς μὴ ἄλλως τετράγωνον ἐνδέχεσθαι γενέσθαι, ἢ μὴ ἐκ τριγώνων συγκεῖσθαι, ὡς καὶ ἐν πρώτοις δοκεῖ λέγειν ὁ Πλάτων, πάντα τὰ διαγράμματα, ὡς εἰς στοιχεῖα ἀναλύσαντα τὰ τρίγωνα ἀναλύων, ἀληθὲς ἂν εἴη τὸ λεγόμενον: καὶ πρώτων ὑπάρχει τῶν αχημάτων τὸ τρίγωνον, καθὸ καὶ ἐστὶ τὸ αχῆμα γένος αὐτῶν, ὥσπερ ἀκριβέστερον ἐν τοῖς τὸ πρῶτον καὶ τὸ ὕστερον, τούτων τὸ κοινῶς κατηγορούμενον ἀεὶ ἔστι γένος. νῦν δὲ οὐδεμία ἐστὶν ἀνάγκη ἵνα γένηται τὸ τετράγωνον, τῷ προϋποκεῖσθαι τρίγωνον, ἅτε τῇ σωθείσῃ τούτων τὸ τετράγωνον γίνεσθαι, ὡς ὁ Νικόμαχος ἐν τῷ τεσσαρακαιδεκάτῳ ἔκτῳ αὐτοῦ θεωρήματι, ἂν δυ τριγώνου τὸ τετράγωνον δι' ὑβέως ἀναγράφειν διδάσκει οὐδὲν γὰρ κωλύει καὶ τριγώνου μὴ ὄντος, τεσσαρασ' ὑβέως ἐξ ὑβέως ποιῆσαι τετράγωνον. ὥστε οὐκ ἀληθὲς τὸ ἀναιρουμένου τοῦ τριγώνου συναναιρεῖσθαι καὶ τὸ τετράγωνον. Εἰ δὲ ὅτι τῇ διαμέτρῳ ἐξ ὑβέως ποιοῦσι τὸ τετράγωνον εἰς δύο τρίγωνα, διὰ τοῦτο φασὶ πρῶτον εἶναι, καὶ ἴσον στοιχεῖον, ἢ μέρος τοῦ τετραγώνου τὸ τρίγωνον, ἐπειδὴ ἐνδέχεται τὸ αὐτὸ τετράγωνον, καὶ εἰς δύο ἑτερομήκη διελὼν τὰς ἀπεναντίον




πλευρὰς δίχα διαιρῶν καὶ ἐξ ὑβέως ποιῶν τὰς. οἷον, ἀπὸ τοῦ α, ἐξ ὑβέως τὸ β, καὶ ποιῆσαι δύο ἑτερομήκη χωρία τὸ γ καὶ τὸ δ, λείποντα καὶ τὰ ἑτερομήκη πρῶτα εἶναι τοῦ τετραγώνου. οὕτω δὲ καὶ τὸ ἐναντίον τὸ τετράγωνον πρῶτον ἔσται τοῦ ἑτε-

» γένος, καθ' ὃ εἰώθαμεν λέγειν, τὸν μὲν ἄνθρωπον, εἶδος
» τοῦ ζώου, γένους ὄντος τοῦ ζώου, τὸ δὲ λευκὸν, τοῦ χρώμα
» τος εἶδος, τὸ δὲ τρίγωνον, τοῦ σχήματος εἶδος.

Ἐπεὶ οὖν τὰ σημαινόμενα τοῦ εἴδους, καὶ περὶ οὗ πρόκει
ται αὐτῷ λέγειν, γνῶναι ἐστὶ παραδείγματι τῷ προκειμένῳ
τοῦ εἴδους σημαινόμενον διδάσκει· πῶς ὑπὸ τὸ γένος ἀ
ναλέγεται τὸ εἶδος. λαμβάνει γὰρ τὸ τρίγωνον, καὶ τὸ σχῆ
μα, τὸ μὲν σχῆμα, ὡς γένος, τὸ δὲ τρίγωνον, ὡς εἶδος. Ε
πλαμβάνονται δέ τινες αὐτοῦ, ὡς μὴ κυρίως εἰρηκότος τὸ
σχῆμα τοῦ τριγώνου γένος, ἢ τὸ τρίγωνον τοῦ σχήματος εἶ
δος. Ἐν οἷς πρῶτόν τι καὶ δεύτερον, φασί, τούτων τὸ κοι
νῶς κατηγορούμενον, γένος οὐκ ἔστι, τὸ δὲ τρίγωνον τοῦ τε
τραγώνου πρῶτον, τὸ μὲν γὰρ, ἐκ τριῶν ἐστι γραμμῶν, τὸ
δὲ, ἐκ τεττάρων· τὸ δὲ τρία, πρῶτα τεττάρων πρῶτος. Καὶ
ἄλλως, πᾶν τετράγωνον εἰς δύο τρίγωνα ὀρθογώνια διαι
α ρεῖται. ἡ γὰρ τοῦ α β γ δ τετραγώνου



ἐπίζευξις, τῇ α γ διαμέτρῳ διαιρεθήσε
ται εἰς δύο τρίγωνα ὀρθογώνια, τό, τε α
β γ, καὶ τὸ α δ γ. ὥστε ἀναιρουμένου
μὲν τοῦ τετραγώνου, οὐκ ἀναιρεῖται τὸ
δ γ τρίγωνον, τριγώνου δὲ ἀναιρεθέντος, ἀδύ
νατον εἶναι τετράγωνον. ὥστε πρῶτον τῇ φύσει τὸ τρίγω
νον τοῦ τετραγώνου. τῷ αὐτῷ δὲ τρόπῳ καὶ τὴν λοιπῶν
πάντων δίχα γραμμῶν σχημάτων πρῶτον διαχθήσεται,
πεντεγώνου φέρε εἰπεῖν, καὶ ἑξαγώνου, καὶ τῶν λοιπῶν. ἕ
καστον γὰρ τούτων εἰς τρίγωνα διαιρεῖται· ἐπομένως τὸ μὲν
τριγώνου πρῶτον, τὸ δὲ τετράγωνον, καὶ τὰ λοιπὰ, δύνα
ται τὸ ἄρα τούτων κοινῶς κατηγορούμενον, λέγω δὴ τὸ
σχῆμα, οὐκ ἔστιν αὐτῶν γένος· οὐκοῦν οὔτε ταῦτα ἐκείνου εἶ
δη. λείπεται τοίνυν μὴ κυρίως εἰρηκέναι τὸν πορφύριον τὸ

ναι τὸ ὑπὸ τὸ γένος πεπωκός, ἢ οὗ τὸ γένος ἐπ' τί ἐστι, κατηγορεῖται. τούτων γὰρ ὑπογραφῶν ἑκατέρα, τῷ μὲν ὑποκειμένῳ ἡ αὐτὴ ἐστι τῇ λοιπῇ· τῇ δὲ οὐσίᾳ μόνον ἀλλήλων διαφέρουσι. πολλὰ γάρ ἐστι καὶ ἄλλα πράγματα, ἃ πάντα τῷ μὲν ὑποκειμένῳ ταὐτά ἐστι, τῇ δὲ οὐσίᾳ, διάφορα, ὡς ἡ ἀνάβασίς τε καὶ ἡ κατάβασις. τούτοις γὰρ τοῖς πράγμασιν ὑπόκειται μὲν τὸ αὐτό, ἡ κλίμαξ· διαφέρει δὲ ἡ ἀνάβασις τῆς καταβάσεως τῇ οὐσίᾳ μόνῃ, ὅτι ἡ μὲν κατάβασις, ἀπὸ τῶν ἄνω ἐπὶ τὰ κάτω οὖσα, κάθοδον ὑπάρχει, ἡ δὲ ἀνάβασις, ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω, ἄνοδος. καὶ τὸ σπέρμα δὲ καὶ ὁ καρπὸς, τῷ μὲν ὑποκειμένῳ τὰ αὐτά ἐστι, τῷ λόγῳ δὲ καὶ τῇ οὐσίᾳ, διάφορα. ὥσπερ οὖν τῶν τούτων ἔχει, οὕτω καὶ τῶν τοῦ ἀνθρώπου ὑπογραφῶν τοὺς εἴδους. διαφέρουσι γὰρ ἀλλήλων, τῷ τὴν μὲν, ἀπὸ τοῦ γένους ἄρχεσθαι, λήγειν δὲ εἰς τὸ εἶδος· τὴν δὲ ἑτέραν, ἀπὸ τοῦ εἴδους μὲν ἄρχεσθαι, λήγειν δὲ εἰς τὸ γένος. ὥστε οὖν καὶ ταῦτα τῇ οὐσίᾳ μόνῃ διαφέρει ἀλλήλων τῷ δὲ ὑποκειμένῳ ταυτά ἐστιν. Ἄρχεται δὲ πάλιν ἀπὸ τοῦ γνωριμωτέρου σημαινομένου τοῦ εἴδους, διότι ὁμοιότητα ἔχει πρὸς τὸ παρὰ τοῖς φιλοσόφοις. ὥσπερ γὰρ τὸ εἶδος ἀπὸ τῆς μορφῆς περιεκτικόν ἐστι πάντων τῶν μερῶν, οὕτω καὶ τὸ παρὰ τοῖς φιλοσόφοις τῶν κατὰ μέρος. τὸ δὲ εἶδος, λέγεται μὲν καὶ ἐπὶ τῆς ἑκάστου μορφῆς· ὥσπερ ἐπὶ τοῦ γένους πρὶν διδάξαι τί ποτέ ἐστι γένος, ἢ ποῖόν ἐστι, τὴν ὁμωνυμίαν αὐτοῦ διεσήλατο, καὶ πρῶτον πρὸς οὗν οὐ προέκειτο αὐτῷ ἐδίδασκε σημαινομένων τοῦ γένους, εἶθ' οὕτω πρὸς τοῦ προκειμένου. τὸν αὐτὸν τρόπον καὶ ἐνταῦθα τὴν ὁμωνυμίαν πρότερον διασείλεται, εἶθ οὕτω ποῖόν ἐστιν εἶδος λέγει, καὶ ποῖον αὐτοῦ τὸ σημαινόμενον.

» Λέγεται δὲ εἶδος, καὶ τὸ ταπόμενον ὑπὸ τὸ ἀποδοθὲν

μόζοντα πραγματείαν. Λέγει οὖν ὅτι διπλῆν ὑπάρχει τὸ σημαινόμενον τοῦ εἴδους. εἶδος μὲν γὰρ λέγεται, καὶ ἡ ἑκάστου μορφή· καθ' ὃ συμαινόμενον λέγομεν θῦν εἶδός τε καὶ δυσειδές. Εἶδος δὲ λέγεται, καὶ τὸ ὑπὸ τὸ γένος πεπτωκός, ἢ οὗ τὸ γένος ἐν τῷ τί ἐστι κατηγορεῖται. ἀλλ' οὗτος ὁ ὁρισμὸς ἐστι καὶ τοῦ εἰδικωτάτου εἴδους, καὶ τοῦ μὴ εἰδικωτάτου. Λέγεται δὲ καὶ ἄλλως εἶδος, τὸ καὶ τὰ πλείονα καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι, κατηγορούμενον. Ἐπειδὴ δὲ τὰ τῶν ὀνομάτων τούτων σημαινόμενα, λέγω δὴ τὸ μὴ εἰδικώτατον εἶδος καὶ εἰδικώτατον ἀσαφῆ ὑπάρχουσι τῇ κοινῇ συνηθείᾳ, προϊόντος τοῦ λόγου σαφηνίζων αὐτὰ προχειρίζομενος τιὼ καλλίστω τῶν κατηγοριῶν, λέγω δὴ τὴν οὐσίαν, ἣ τις αὐθυπόστατον ὑποκείμενον πρᾶγμα, καὶ γενικώτατον γένος. αἱ γὰρ ἄλλαι κατηγορίαι συμβεβήκοτα αὐτῆς ὑπάρχουσιν, εἰ γὰρ πᾶσαι αἱ ἄλλαι ἐν τῇ οὐσίᾳ ὑπάρχουσι καὶ ἐν αὐτῇ θεωροῦνται, καὶ χωρὶς αὐτῆς συνῆναι οὐ δύνανται, δῆλον ὅτι ἡ μὲν οὐσία, ἐστὶν αὐθυπόστατον, αἱ δὲ ἄλλαι ἐννέα κατηγορίαι συμβεβήκασιν αὐτῇ. Λαμβάνει οὖν τὴν οὐσίαν, καὶ πλείονα ἐξ αὐτῆς σημαίνοντα τοιαῦτα. ὅτι τῆς οὐσίας, τὸ μὲν ἐστι σῶμα, τὸ δὲ, ἀσώματον. Καὶ τοῦ σώματος, τὸ μὲν ἔστιν ἔμψυχον, τὸ δὲ, ἄψυχον. Καὶ τοῦ ἐμψύχου, τὸ μὲν, ζῷον, τὸ δὲ, φυτόν, τὸ δὲ, ζῳόφυτον. Καὶ τοῦ ζῴου, τὸ μὲν, λογικόν, τὸ δὲ, ἄλογον. Καὶ τοῦ λογικοῦ, τὸ μὲν, ἄγγελος, τὸ δὲ, ἄνθρωπος, τὸ δὲ, δαίμων. Ἐν τούτοις οὖν γενικώτατον μὲν γένος ὑπάρχει, ἡ οὐσία, εἰδικώτατον δὲ, ὁ ἄνθρωπος, τὰ δὲ μέσα, γένη καὶ αὐτὰ καλοῦνται, καὶ εἴδη, εἴδη μὲν, τῶν πρὸ αὐτῶν, γένη δὲ, τῶν μετ' αὐτά. Κοινῶς μὲν οὖν πάντα τὰ εἴδη, τά τε εἰδικώτατα καὶ τὰ ὑπάλληλα, ἡ προτέρα ὑπογραφὴ περιέχει, ἡ λέγουσα εἶδος

μοὶ, πρὸ τῶν πολλῶν: τὰ δὲ, ἐν τοῖς πολλοῖς, τὰ δὲ, ὡὶ τοῖς πολλοῖς, ἃ καὶ ὑστεροχρόνως λαλεῖται, καὶ ἐννοηματικὰ, ἃς ἐν τῇ διανοίᾳ ὄντας τῇ ἡμετέρᾳ. πρόκειται οὖν τῷ παρφυρίῳ διδάξαι πρὸς γενῶν, οὔτε πρὸς τῶν πρὸ τ πολλῶν, οὔτε πρὸς τῶν ἐν τοῖς πολλοῖς, ἀλλὰ πρὸς τῶν ὡὶ τοῖς πολλοῖς, τουτέστι πρὸς τῶν ἐννοηματικῶν. διὰ τοῦτο τοίνυν εἶπεν ὑπογραφὴν τῆς ἐννοίας, τουτέστι τοῦ ἐννοηματικοῦ γένους. ἐννοηματικὸν δὲ γένος ἐστὶ, καθ' ὃ ἐννοίαν λαμβάνοντες τὰ πράγματα πρὸς αὐτὸν ὁριζόμεθα. οἷον, λαμβάνομεν κατὰ τὸν οἰκείαν διάνοιαν τὸν ἄνθρωπον, καὶ πρὸς αὐτὸν ἀναλογιζόμενοι λέγοντες, ὅτι ὁ ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητόν. φησὶν οὖν ὁ πορφύριος, ὅτι ταύτης τῆς ἐννοίας οὐδὲν ὑποβάλλων, οὐ δὲ ἐλλείπων ἔχει ἡ τοῦ γένους ὑπογραφή.

## ΠΕΡΙ ΕΙΔΟΥΣ.

» Τὸ δὲ εἶδος, λέγεται μοὶ καὶ ὡὶ τῆς ἑκάστου μορφῆς,
» καθ' ἣν ἐστι. πρῶτον μοὶ εἶδος ἄξιον τυραννίδος.

Πεπλήρωται ὁ πρὸι τοῦ γένους λόγος. δευτέραν οὖν τάξιν ἔχουσιν ἐν τούτοις αἱ διαφοραὶ. ἀλλ' ἐπειδὴ πρὸ τοῦ γένους ἢ τὸ εἶδος πρός τι ἢ ἅμα ὑφίστανται, διὰ τοῦτο τὸ εἶδος τῶν διαφορῶν προέταξεν, οὐ διὰ τὴν φυσικὴν τάξιν, ἀλλὰ διὰ τὴν διδασκαλικὴν ἀκολουθίαν, ἢ ὅτι ἐν τῇ τοῦ γένους διδασκαλίᾳ, ἐμνημόνευσε καὶ τοῦ εἴδους. καὶ ἐδείκνυ ὡὶ πολὺ χρόνον ἀσχολούμενον τούτου εἶναι τὸν ἀκροατήν. Τῷ δὲ εἰωθότι καὶ νῦν καὶ ὀνι χρῶμενος ἀπαριθμεῖται πρότερον τὰ σημαινόμενα τοῦ εἴδους πάντα, εἶθ' οὕτων προσδιορίζεται πρὸι ποίου ποιήσεται τὸν λόγον. εἰσὶ γὰρ ἕτερα σημαινόμενα τοῦ εἴδους, περὶ ὧν οὐ πρόκειται λέγειν, ἀλλ' ἐκεῖνα καταριθμεῖται τοῦ εἴδους τὰ σημαινόμενα, τὰ πρὸς τὴν λογικὴν ἀρ-

ὡς πρὸ ἓν τῶν τούτων ἔχει, οὕτω καὶ τῶν τοῦ ὁρισμοῦ. ἐκεῖνος γάρ ἐστιν ἄριστος ὁρισμὸς, ὁ περιορίζων μὲν τὸ οἰκεῖον πρᾶγμα, καὶ μηδὲν ἔξω αὐτοῦ καταλιμπάνων, τῶν δὲ παρακειμένων μηδὲν ἀφαιρούμενος. παράκειται δὲ τούτῳ, ὡς πρὸ καὶ ταῖς ἄλλαις ἀρεταῖς, ἡ ὑπερβολὴ, καὶ ἡ ἔλλειψιν, ὡς ἤδη εἴρηται. καὶ περιπούοντες μὲν, ποιοῦσι τὰ πράγματα ἐλλείπειν. ἐλλείποντες δὲ, ποιοῦσι πολλὰ περιπούειν. ὅτου, ὁ τοῦ ἀνθρώπου ὁρισμός ἐστι, ζῷον λογικὸν θνητόν. καὶ οὗτος ὁ ὁρισμὸς χωρίζει τὸν ἄνθρωπον ἀπὸ τῶν ἄλλων ἁπάντων, καὶ περιλαμβάνει πάντας τοὺς ἀνθρώπους. ἐλλείπων δὲ ποιεῖ τὸ πρᾶγμα περιπούειν. ὅτου, ζῷον θνητόν. οὐ μόνον γὰρ ὁ ἄνθρωπος ζῷον θνητόν, ἀλλὰ καὶ ἵππος, καὶ κύων, καὶ ἄλλα πολλά. πάλιν δὲ περιπούων ποιεῖ τὸ πρᾶγμα ἐλλείπειν. ὅτου, ζῷον λογικὸν θνητὸν γραμματικόν. οὐκέτι γὰρ πάντας ἀνθρώπους περιλαμβάνει, ἀλλὰ μόνους τοὺς γραμματικούς. καὶ τοῦτο εἰκότως. σωθετώτερα γὰρ γινόμενα τὰ πράγματα, μᾶλλον σῴζουσι. ἁπλούστερα δὲ ὄντα, τῶν πλείονα ἐκπίνεται, καὶ τῶν πλειόνων φέρεται· ἅτε δὴ πλησιέστερα ὄντα τῆς πρώτης ἀρχῆς καὶ κοινῆς πάντων. διὰ τοῦτο τὸ μὲν ζῷον, αὐτὸ καθ' αὑτὸ τῶν πλειόνων φέρεται, σωθετεῖ δὲ τῷ λογικῷ, ἐπ' ἐλαττόνων. τὸ δὲ λογικὸν ζῷον τῷ θνητῷ σωδυαζόμενον, ἔτι ἐλάττονα περιέχει. ἐὰν δὲ προσεθῇ καὶ τὸ γραμματικὸν, ἔτι μειρακώτερον γίνεται. Ὡς τε ἐλλείποντες μὲν οἱ ὁρισμοὶ, ποιοῦσι τὰ πράγματα περιπούειν, περιπούοντες δὲ, ἐλλείπειν. Ταῦτα οὖν σημαινόμενος ὁ Πορφύριος, φησὶν ὅτι ὁ ἀποδοθεὶς τοῦ γένους ὁρισμὸς, ἤτοι ὑπογραφὴ, τῶν δύο τούτων ἀπήλλακται, τῶν κακιώντων τοὺς ὁρισμούς. οὔτε γὰρ περιπούων, ποιεῖ ἐλλείπειν τὸ πρᾶγμα, οὔτε ἐλλείπων, περιπούειν. Εἴρηται δὲ ὅτι τριπλᾶ ἐστι τὰ γένη, τὰ

ἀπὸ τῶν διαφορῶν, καὶ τῶν κοινῶς συμβεβηκότων, ἃ οὐκ ἐν τῷ τί ἐστιν, ἀλλ' ἐν τῷ ὁποῖόν τί ἐστιν, ἢ πῶς ἔχον κατηγορεῖται ἕκαστον ὧν κατηγορεῖ· ἐν τῷ ὁποῖόν τί ἐστιν ἡ διαφορὰ κατηγορεῖται· ἐν δὲ τῷ πῶς ἔχον, τὰ κοινῶς συμβεβηκότα. Φασὶ δέ τινες ὁπεριπάτου, ἢ πῶς ἔχον, πρόσεστι δὲ καὶ τὰ ἰδίως τινὶ συμβεβηκότα· λέγομεν οὖν ὅτι, ἢ καὶ ἐν τῷ πῶς ἔχον ἐστὶ κατηγορεῖται καὶ αὐτὰ, ἀλλ' ὅμως τῶν καθ' ἑνός ἐστι κατηγορουμένων· ἐκείνων δὲ αὖ ἐχώρισε τὸ γένος, εἰρηκὼς, τὸ μὲν κατὰ πλειόνων λέγεσθαι τὸ γένος, διαστέλλει αὐτὸ ἀπὸ τῶν καθ' ἑνὸς μόνου καὶ τῶν ἀτόμων κατηγορουμένων.

Οὐδὲν ἄρα πρόσεστιν οὐδὲ ἐλλέπειν πρόσεστι ἢ τοῦ γένους ἐνθεῖσα ὑπογραφὴ τῆς ἐννοίας.

Οἱ ὁρισμοὶ βούλονται καὶ μόνῳ ἐφαρμόζειν τῷ πράγματι, καὶ ὅλον αὐτὸ περιλαμβάνειν· διὰ τοῦτο γοῦν καὶ ὁρισμοὶ λέγονται, ὡς περιλαμβάνοντες τὸ ὁριστὸν ἀπὸ τῶν ἐν τοῖς χωρίοις ὅρων μεταλαμβάνοντες· γίνονται δὲ οἱ ὁρισμοὶ ἀσύμμετροι κατὰ δύο τρόπους, ἢ περιπίπτοντες, ἢ ἐλλείποντες· καλῶς γοῦν εἴρηται τοῖς φιλοσόφοις, ὅτι ἑκάστη συμμετρία μία τις οὖσα δύο ἔχει ἀμετρίας παρακειμένας· οὕτω γοῦν καὶ ἡ δικαιοσύνη· μία μέν τις ὑπάρχει ἀρετὴ, παράκειται δὲ αὐτῇ ἡ μειονεξία, καὶ ἡ πλεονεξία· καὶ μειονέκτης μέν ἐστιν, ὁ ἧττον τοῦ δίοντος ἑαυτῷ τι περιποιῶν· πλεονέκτης δὲ, ὁ πλέον τοῦ δίοντος· καὶ πάλιν ἡ ἀνδρεία ἀρετὴ ὑπάρχει· παράκειται δὲ αὐτῇ ἥ τε δειλία, καὶ ἡ θρασύτης· ἀλλὰ δὴ καὶ ἡ σωφροσύνη ἀρετὴ ὑπάρχει· παράκειται δὲ αὐτῇ ἥ τε ἠλιθιότης, καὶ ἡ ἀκολασία· καὶ ἠλίθιος μέν ἐστιν, ὁ ἧττον κινούμενος, ἀκόλαστος δὲ, ὁ μᾶλλον καὶ ἀτάκτως κινούμενος· ἀλλὰ δὴ καὶ ἡ φρόνησις ἀρετή ἐστι· παράκειται δὲ αὐτῇ ἥ τε ἀφροσύνη, καὶ ἡ ὑπερφαυία·

Digitized by Google

» σὺ τῷ ὁ ποῖόν τί ἐστιν. σὺ γὰρ τῷ ἐρωτᾶν ὁ ποῖόν τί ἐστιν ὁ ἄν-
» θρωπος, φαμὲν ὅτι λογικόν: καὶ σὺ τῷ ὁ ποῖόν τί ἐστιν ὁ κό-
» ραξ, φαμὲν ὅτι μέλας. ἐπὶ δὲ τὸ μὲν λογικόν, διαφορὰ:
» τὸ δὲ μέλας συμβεβηκός. ὅταν δὲ τί ἐστιν ἄνθρωπος, ἐ-
» ρωτηθῶμεν, ζῷον ἀποκρινόμεθα. ἰῷ δὲ ἀνθρώπου γέ-
» νος τὸ ζῷον.

Τῶν διαφορῶν φησὶ καὶ τὴν καθόλου συμβεβηκότων διαφέρειν τὸ γένος, τῷ ταῦτα μὲν, σὺ τῷ ὁ ποῖόν τί ἐστιν, ἢ πῶς ἔχον ἐπὶ κατηγορεῖσθαι, τὸ δὲ γένος, σὺ τῷ τί ἐστιν. τὴν δὲ σὺ τῷ τί ἐστι κατηγορουμένων διαφέρειν τὸ γένος, τοῦ μὲν εἴδους, ὅτι ἐκεῖνο μὲν κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ κατηγορεῖται, τοῦτο δὲ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει, ὅτιον, τὸ γένος, τοῦ δὲ ἰδίου, ὅτι τοῦτο μὲν ἑνὶ εἴδει ἁρμόζει, τὸ δὲ γένος πολλοῖς εἴδεσιν.

» Ὡς τε τὸ μὲν κατὰ πλειόνων λέγεσθαι τὸ γένος, δια-
» στέλλει αὐτὸ ἀπὸ τῆς καθ' ἑνὸς μόνου τῶν ἀτόμων κατηγο-
» ρουμένου. Τὸ δὲ διαφερόντων τῷ εἴδει διαστέλλει αὐτὸ
» ἀπὸ τῆς ὡς εἰδῶν, ἢ ὡς ἰδίων κατηγορουμένων. Τὸ δὲ
» σὺ τῷ τί ἐστιν κατηγορεῖσθαι χωρίζει αὐτὸ ἀπὸ τῆς διαφο-
» ρᾶς, καὶ τῶν κοινῶν συμβεβηκότων, ἃ οὐκ σὺ τῷ τί ἐστιν, ἀλ-
» λ' σὺ τῷ ὁποῖόν τί ἐστιν, ἢ πῶς ἔχον ἐπὶ κατηγορεῖται.

Ἐνσωτόμως δὲ ἔδειξεν πῶς ἕκαστον τῶν παραληφθέν-
των εἰς τὸν τοῦ γένους ὑπογραφὸν διόντως ἐλλιπὲς ἐστι. *
ἃ οὐκ σὺ τῷ τί ἐστιν, ἀλλ' σὺ τῷ ὁ ποῖόν τί ἐστιν, ἢ πῶς ἔχον
ἐπὶ κατηγορεῖται. ἡ δὲ διαφορὰ καὶ τὰ συμβεβηκότα, οὐ
μόνον σὺ τῷ ὁποῖόν τι ἐπὶ κατηγορεῖται, ἀλλὰ καὶ σὺ τῷ
πῶς ἔχον. ἐρωτηθέντες γὰρ πῶς ἔχει σωκράτης, ἀποκρι-
νόμεθα ἢ ὑγιαίνει, ἢ νοσεῖ. αἱ γὰρ ἄλλαι διαφοραὶ, πρὸς
τοῖς συμβεβηκόσιν εἰσὶν, οἷον, τὸ σιμὸν, τὸ γρυπὸν, καὶ τὸ
φαλακρόν. Τὸ δὲ σὺ τῷ τί ἐπὶ κατηγορεῖσθαι, χωρίζει

Digitized by Google

φέρει καὶ ἕτερα ἐστὶν ἀλλήλων, ἢ τῷ εἴδει, ἢ τῷ ἀριθμῷ· καὶ τὰ μὲν τῷ γένει διαφέροντα ἀλλήλων, πάντως καὶ τῷ εἴδει διαφέρουσι, καὶ τῷ ἀριθμῷ· οἷον, τῷ γένει διαφέρει ἄλλήλων, ὁ ἄνθρωπος καὶ τὸ λευκὸν, ὁ μὲν γὰρ ἄνθρωπος ζῶον ὑπάρχει, τὸ δὲ λευκὸν, ποιὸν, ἀλλὰ δὴ καὶ τῷ εἴδει, ἄλλο γὰρ εἶδος ἀνθρώπου, καὶ ἄλλο λευκοῦ· ὁ μὲν γὰρ ἄνθρωπος εἶδός ἐστι τοῦ ζώου γένους ὄντος, τὸ δὲ λευκὸν εἶδός ἐστι τῆς ποιότητος καὶ τοῦ χρώματος· ἀλλὰ δὴ καὶ τῷ ἀριθμῷ· ὁ γὰρ αὐθεντὸς ἄνθρωπος, οἷον ὁ Σωκράτης, ἕτερός ἐστι τοῦ πλάττωνος. ὥστε οὖν καλῶς εἰρήκαμεν ὅτι τὰ τῷ γένει ἀλλήλων διαφέροντα, καὶ τῷ εἴδει διαφέρουσι, καὶ τῷ ἀριθμῷ· τὰ δὲ τῷ εἴδει διαφέροντα, διαφέρει μὲν πάντως τῷ ἀριθμῷ, οὐκέτι δὲ καὶ τῷ γένει· οἷον, ἄνθρωπος, ἵππος· ταῦτα γὰρ διαφέρει ἀλλήλων τῷ εἴδει· ἄλλο γὰρ εἶδος ἀνθρώπου, καὶ ἄλλο ἵππου· ἀλλὰ δὴ καὶ τῷ ἀριθμῷ· ἄλλη γὰρ ὕλη ἵππου, καὶ ἄλλη ἀνθρώπου, οὐ μὴν καὶ τῷ γένει διαφέρουσιν, ἀμφότερα γὰρ ζῶα ὑπάρχει· τὰ δὲ τῷ ἀριθμῷ διαφέροντα, οὔτε πάντως τῷ εἴδει, οὔτε τῷ γένει διαφέρουσιν ἀλλήλων· διὰ τοῦτο εἶπεν, οἱ διαφέρουσι τῷ εἴδει ἀλλήλων, ἀλλ' οὐ τῷ ἀριθμῷ μόνον· ὡς δῆλον ἔντος, ὅτι τὰ διαφέροντα τῷ εἴδει ἀλλήλων, καὶ τῷ ἀριθμῷ πάντως διαφέρει.

» Τῆς δ' αὖ διαφορᾶς τῶν κοινῶς συμβεβηκότων διαφέρει τὸ γένος, ὅτι καὶ κατὰ πλειόνων, καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖται· οἱ διαφοραὶ, καὶ τὰ κοινῶς συμβεβηκότα, ἀλλ' οὐκ ἐν τῷ τί ἐστι κατηγορεῖται, ἀλλ' ἐν τῷ ὁποῖόν τί ἐστι· ἐρωτησάντων γὰρ τινῶν τί ἐστιν ἐκεῖνο καθ' ὃ κατηγορεῖ ταῦτα, τὸ γένος ἀποκρινόμεθα· τὰς δὲ διαφορὰς καὶ τὰ κοινὰ συμβεβηκότα οὐκ ἀποκρινούμεθα· οὐ γὰρ ἐν τῷ τί ἐστι κατηγορεῖ τοῦ ὑποκειμένου, ἀλλὰ μᾶλλον

φὴν οὕτως· ὅτι γένος μέν ἐστι, φωνὴ σημαντικὴ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορουμένη. Διαφορὰ δέ ἐστι, σημαντικὴ φωνὴ, κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορουμένη. Εἶδος δὲ ἐστὶ φωνὴ σημαντικὴ, κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ, ἐν τῷ τί ἐστι κατηγορουμένη. Ἴδιον δὲ ὑπάρχει, φωνὴ σημαντικὴ ἐπουσιώδης καθ' ἑνὸς εἴδους κατηγορουμένη. Συμβεβηκὸς δέ ἐστι, σημαντικὴ φωνὴ ἐπουσιώδης κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι, ἢ ἐν τῷ πῶς ἔχον ἐστὶ, κατηγορουμένη.

» Τὸ δὲ ζῷον γένος ὄν, ἀνθρώπου, καὶ ἵππου, καὶ βοὸς,
» κατηγορεῖται, οἳ διαφέρουσι καὶ τῷ εἴδει ἀλλήλων, ἀλλ' οὐ
» τῷ ἀριθμῷ μόνον. τοῦ δ' αὖ ἰδίου διαφέρει τὸ γένος, ὅτι
» τὸ μὲν ἴδιον καθ' ἑνὸς μόνου εἴδους, οὗ ἐστιν ἴδιον κατηγο
» ρεῖται, καὶ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων, ὡς τὸ γελαστικὸν ἀν
» θρώπου μόνου, καὶ τῶν κατὰ μέρος ἀνθρώπων, τὸ δὲ γέ
» νος οὐχ ἑνὸς εἴδους κατηγορεῖται, ἀλλὰ πλειόνων τε καὶ
» διαφερόντων.

Ἰστέον δὲ ὅτι, τὰ τῷ εἴδει διαφέροντα ἀλλήλων, καὶ τῷ ἀριθμῷ διαφέρουσι, τὰ δὲ τῷ ἀριθμῷ διαφέροντα, οὐκέτι καὶ τῷ εἴδει, οὐ γὰρ ἀντιστρέφει ὁ λόγος. Εἰδέναι γὰρ δεῖ, ὅτι τὸ ταυτὸν τριττὸν ὑπάρχει, ἢ γὰρ τῷ γένει ἐστὶ ταυτὸν, ἢ τῷ εἴδει, ἢ τῷ ἀριθμῷ. Καὶ τῷ γένει μέν ἐστι ταυτὸν, ὡς ἄνθρωπος, ἵππος, κύων, βοῦς. ταῦτα γὰρ τῷ γένει ταυτὸν ὑπάρχει. ἅπαντα μὲν ζῷα εἰσί. Τῷ δὲ εἴδει ταυτόν ἐστιν, ὡς βίων, καὶ πλάτων, καὶ ἀλκιβιάδης. οὗτοι γὰρ οἱ αὐτοὶ ἐν τῷ εἴδει ὑπάρχουσι. Τῷ δὲ ἀριθμῷ ταυτόν ἐστιν, ὡς ἄνθρωπος καὶ βροτός· ἢ ὡς ξίφος καὶ μάχαιρα. Εἰ οὖν τὸ ταυτὸν τριττὸν ὑπάρχει, ἐξ ἀνάγκης καὶ τὸ ἕτερον τριττὸν ὑπάρχει. ἢ γὰρ τῷ γένει πρὸς ἀλλ-

Digitized by Google

» Τὰ δὲ κατὰ πλειόνων, ὡς τὰ γένη, καὶ τὰ εἴδη, καὶ αἱ
» διαφοραὶ, καὶ τὰ ἴδια καὶ τὰ συμβεβηκότα κοινῶς, ἀλλὰ
» μὴ ἰδίως πνί.

Οἷον, ἡ λευκότης, καὶ ἡ μελανία. τὸ γὰρ μερικὰ, οὐκα
τὰ πλειόνων λέγεται· οἷον, ἡ ἐν τῷ δεῖνι τῷ σώματι λευκό-
της, ἢ ἡ ἐν τῷ δεῖνα οἰκίᾳ, ἀφ' ἧς αὐτὸν ἡ τροφὸς ἐπέγω-
νε. τὸ γὰρ αὐτὸ αὐτῷ μόνῳ ὑπῆρχεν· εἰ μὴ γὰρ ἐκείνῳ αὐτῷ μόνῳ,
πῶς ἦν αὐτὸν ἐξ αὐτῆς γνωρίσαι; διὰ τοῦτο οὖν εἴπε
τὰ κοινῶς συμβεβηκότα, ἀλλὰ μὴ ἰδίως πνὶ ὑπάρχον-
τα. αὖτ! τοῦ τὰ καθόλου, καὶ μὴ τὰ μερικά.

» Ἔτι δὲ γένος μὲν, οἷον, τὸ ζῷον, εἶδος δὲ, οἷον, ὁ ἄνθρω-
» πος, διαφορὰ δὲ, οἷον, τὸ λογικὸν ἴδιον δὲ, οἷον τὸ μελανι-
» κὸν, συμβεβηκὸς δὲ, οἷον τὸ λευκὸν, τὸ μέλαν, τὸ ἵστασθαι,
» τὸ καθίζεσθαι.

Ἐσκιαγραφημένην οἷόν πινα πρὸς αὐτῶν ποιεῖται τὴν
διδασκαλίαν, διὰ παραδείγματος ἑκάστου ἡμᾶς διδά-
σκων τὴν πέντε.

» Τῶν μὲν οὖν καθ' ἑνὸς μόνου κατηγορουμένων διαφέ-
» ρειτὰ γένη, τῷ ταῦτα κατὰ πλειόνων λέγεσθαι, τὴν δ' αὖ
» κατὰ πλειόνων, τῶν μὲν εἰδῶν, ὅτι τὰ μὲν εἴδη οὐ κα-
» τὰ πλειόνων κατηγορεῖται, ἀλλ' οὐ διαφέρουσι τῷ εἴδει,
» ἀλλὰ τῷ ἀριθμῷ· ὁ γὰρ ἄνθρωπος εἶδος ὤν, κατὰ σωκρά-
» τους, καὶ πλάτωνος κατηγορεῖται, οἳ οὐ τῷ εἴδει διαφέρου
» σιν, ἀλλὰ τῷ ἀριθμῷ.

Διὰ τούτων δείκνυσι πῶς ὁ ἀποδοθεὶς ὁρισμὸς τοῦ γέ-
νους, ἤτοι ἡ ὑπογραφὴ, χωρίζει αὐτὸ τὴν ἄλλων ἁπάντων·
κατηγορεῖται μὲν γὰρ τὸ γένος κατὰ πλειόνων καὶ διαφε-
ρόντων, ἀλλ' οὐ τῷ ἀριθμῷ μόνον, ἀλλὰ καὶ τῷ εἴδει· τὸ
δὲ εἶδος, κατὰ διαφερόντων μόνον τῷ ἀριθμῷ· ὥστε οὖν
δεῖ ποιεῖσθαι ἑκάστης φωνῆς τὸν ὁρισμὸν, ἤτοι τὴν ὑπογρα-

τὰ δὲ, σὺν τῷ ὁποῖόν τί ἐστι, καὶ πῶς ἔχον ἐστί. καὶ σὺν μὲν τῷ τί ἐστι, τὸ γένος: ἐν δὲ τῷ ὁποῖόν τί ἐστιν, ἡ διαφορά, καὶ τὸ ἀχώριστον συμβεβηκός, ἐν δὲ τῷ πῶς ἔχων ἐστὶ, τὸ χωριστὸν συμβεβηκός, ἐρωτώμενοι γὰρ πῶς ἔχει ὁ πλάτων, φαμὲν ὅτι ὑγιαίνει, ἢ νοσεῖ, ἢ κάθηται, ἢ ἵσταται, καὶ ἄλλα τοιαῦτα. Ἄξιον δὲ ἀπορῆσαι, εἰ ὑπὸ τὰ φωνήεντα ὡς γένος ἀφάγγους αἱ ἑπτὰ φωναὶ, τὸ δὲ γένος ὑπὸ ταύτας ἀφάγγους, ἔστω τὸ γενικώτατον γένος, ὅπερ ἄτοπον. φαμὲν οὖν ὅτι, οὐχ ὡς πράγματα τὰ γένη ἀφάγγους ὑπὸ ταῦτα τὰ διαίρεσιν, ἀλλ' ὡς φωναί. ὡς μὲν τὰ πράγματα γενικώτατα, οὐκέτι ἐπί τι κοινότερον ἀφάγγους.

» Τῶν γὰρ κατηγορουμένων, τὰ μὲν, καθ' ἑνὸς λέγεται
» μόνον, ὡς τὸ ἄτομα, οἷον Σωκράτης.

Διὰ τούτων δηλοῖ πῶς ἡ ἀποδοθεῖσα τοῦ γένους ὑπογραφὴ χωρίζει αὐτὸ τῶν ἄλλων ἁπάντων.

» Καὶ τὸ, οὗτος καὶ τὸ, τοῦτο.

Καὶ γὰρ καὶ ταῦτα μερικά ὑπάρχει. καθ' ἑνὸς γὰρ μόνου λέγεται. δεικνύοντες γὰρ φαμὲν, τοῦτο, καὶ ἐκεῖνο, καὶ τὸ ἄλλο. καὶ καλῶς οἱ φιλόσοφοι κατὰ τῶν μερικῶν ἦγαγον τὸν λόγον τοῦτον. ταῦτα γὰρ καὶ τῇ δείξει, καὶ τῇ αἰσθήσει ὑποπίπτουσιν. ὁ γὰρ καθόλου ἄνθρωπος, καὶ τὸ καθόλου ζῷον, καὶ τὰ λοιπὰ τῶν καθόλου ἐν τῷ δημιουργῷ ὄντα, οὔτε τῇ δείξει, οὔτε τῇ αἰσθήσει ὑποπίπτουσι. καλῶς οὖν τὰ καθέκαστα ὑπὸ τὰ δείξει ἀνήγαγον οὐ γὰρ τὰ καθόλου. Ἄτομα δὲ λέγεται ταῦτα, ἐπεὶ οὐ τέμνεται, οὔτε εἰς ὁμοειδῆ, οὔτε εἰς ἀνομοειδῆ, ὥσπερ τὰ γένη, καὶ τὰ εἴδη, ἀλλ' ἄμα τῇ τομῇ φθείρεται. τὸ γὰρ ἐν ἐμοὶ ζῷον, οὐκ ἔστι κοινὸν, ἀλλ' ἐν ἐμοὶ πολιογραφία, ὁμοίως καὶ τὸ λογικὸν, καὶ τὸ ἐκ πάντων σύγκριμα ὁ ἄνθρωπος πολιώρισται.

Digitized by Google

γομένων. Τὸ δὲ διαφερόντων τῷ εἴδει, διακρίνει αὐτὸ εἴδους καὶ ἰδίου. Τὸ δὲ αὐτῷ τί ἐστι κατηγορούμενον, διακρίνει αὐτὸ καὶ διαφορᾶς καὶ συμβεβηκότος. Καὶ ἡμεῖς μὲν οὕτω πλατυκώτερον ἀποδιδώκαμεν τὸν διαίρεσιν, βουλόμενοι διδάξαι τὸν διαφορὰν τῶν φωνῶν, ᾗ ὅτι πᾶσα ἀνάγκη ἐστὶ τῷ ἀριστοτέλει ταύτας μόνας ταῖς πέντε φωναῖς χρήσασθαι, καὶ οὔτε πλείοσιν, οὔτε ἐλάττοσιν. ἐπὰ γὰρ ὑπαρχουσῶν τῶν φωνῶν πασῶν, καὶ τῶν δύο ἐξαιρεθεισῶν, αἱ πέντε μόναι ὑπολείπονται. Ὁ δὲ φιλόσοφος πορφύριος μὴ βουλόμενος ἀποδέξαι τοῦτο ναῦν, διὰ τί ταῖς πέντε φωναῖς μόναις ἐχρήσατο ὁ ἀριστοτέλης, ἀλλὰ τὴν διαφορὰν μόνην τῶν πέντε σημαντικῶν φωνῶν σκοτεινοτέραν ποιούμενος τὸν διαίρεσιν λέγει οὕτως. Τῶν σημαντικῶν φωνῶν, αἱ μὲν, καθ' ἑνὸς λέγονται, αἱ δὲ, κατὰ πλειόνων. καταλιμπάνει γὰρ τὸ ἀνώτερον μέρος τῆς διαιρέσεως. καὶ καθ' ἑνὸς μὲν κατηγοροῦνται, ὡς τὸ ἄτομα, ὅιον, σωκράτης, πλάτων, ἀλκιβιάδης. Τῶν δὲ κατὰ πλειόνων, αἱ μὲν, κατὰ διαφερόντων τῷ εἴδει, αἱ δὲ, κατὰ διαφερόντων τῷ ἀριθμῷ. Καὶ κατὰ διαφερόντων τῷ εἴδει κατηγοροῦνται, τὸ γένος, καὶ ὁ διαφορὰ, καὶ τὸ συμβεβηκός. καὶ γὰρ τὸ γένος, ὅιον τὸ ζῶον, καὶ κατηγορεῖται κατὰ πολλῶν εἰδῶν, ὅιον, ἀνθρώπου, καὶ ἵππου, καὶ κυνός. καὶ ἡ διαφορὰ δὲ, ὅιον τὸ λογικὸν, κατηγορεῖται καὶ κατὰ ἀγγέλων, καὶ κατὰ ἀνθρώπων, καὶ τοῦ θνητοῦ καὶ τοῦ ἀλόγου, ἵππου τε καὶ ἄλλων ζώων. καὶ τὸ συμβεβηκὸς ὃ, κατὰ πολλῶν εἰδῶν κατηγορεῖται, κατά τε λευκότητος, καὶ μελανίας, καὶ κατὰ τοῦ ἑστάναι, καὶ τοῦ καθέζεσθαι. Τῶν δὲ κατὰ διαφερόντων τῷ ἀριθμῷ, κατηγορουμένων ὑπάρχει τὸ ἴδιον, καὶ τὸ εἶδος. Τῶν γὰρ κατὰ διαφερόντων τῷ εἴδει κατηγορουμένων, τὰ μὲν, ἐν τῷ τί ἐστι κατηγορεῖται,

οὐκ ἔχομεν ἐκ μονάδων λέγειν συγκεῖσθαι τὸν δέκα ἀριθμόν· καὶ πῶς ἐκ τούτων ἔχομεν τὴν διαφορὰν τοῦτε εἴδους, καὶ τοῦ γένους, καὶ τῆς διαφορᾶς· διαφέρει γὰρ ἀλλήλων, τῷ τὸ μὲν εἶδος, κατὰ διαφερόντων τῷ ἀριθμῷ κατηγορεῖσθαι, τὸ δὲ γένος καὶ τὴν διαφορὰν, κατὰ διαφερόντων τῷ εἴδει κατηγορεῖσθαι· καὶ τὰ μὲν ἐν τῷ τί ἐστι κατηγορεῖται, καὶ ποιεῖ τὸ γένος· Ἐν τῷ τί δέ ἐστι κατηγορεῖσθαι λέγομεν, ὅταν ἐρωτώμενοι τὸ, τί ἐστιν ἄνθρωπος, ἢ τύχοι, ἀποκριθῶμεν, ὅτι ζῷον, ὅπερ ἐστὶ γένος. ὡς τε τὸ γένος, ἐν τῷ τί ἐστι λέγεται κατηγορεῖσθαι· Τὰ δὲ ἐν τῷ ὁποῖόν τί ἐστιν ὑπάρχει, ὡς ὅταν ἐρωτηθέντες, ὁποῖόν τί ἐστι ζῷον ὁ ἄνθρωπος, εἴπωμεν, ὅτι λογικόν, ὅπερ ἐστὶ διαφορά· ὥστε ἐν τῷ ὁποῖόν τί ἐστιν ἡ διαφορὰ κατηγορεῖται· καὶ ἐν τούτοις ἀνέφαινε ἡμῖν καὶ ἡ τοῦ γένους καὶ τῆς διαφορᾶς διαφορά· κατὰ τοῦτο γὰρ ἀλλήλων διαφέρουσι, καθὸ τὸ μὲν γένος ἐν τῷ τί ἐστι κατηγορεῖται, ἡ δὲ διαφορὰ ἐν τῷ ὁποῖόν τί ἐστι· Τῶν δὲ μὴ οὐσιωδῶς λεγομένων, τὰ μὲν ἔστιν ὑπάρχειν εἴδει, ὡς τὰ ἴδια, τὰ δὲ, ἐν πλείοσιν, ὡς τὰ συμβεβηκότα, ἐκ ταύτης οὖν τῆς διαιρέσεως ἀνέφανη ἡμῖν καὶ τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος διαφορά· καὶ τὰ τοῦτο γὰρ διαφέρει, καθὸ τὸ μὲν ἴδιον ἑνὶ εἴδει ὑπάρχει, τὸ δὲ συμβεβηκὸς πλείοσιν· ἐκ ταύτης τοίνυν τῆς διαιρέσεως δῆλον ὅτι ἀνάγκη πᾶσαν φωνὴν ὑπὸ μίαν τούτων τὴν πέντε φωνῶν τελεῖν· καὶ ἅμα δῆλον ὅτι δυνατὸν ἐκ τῆς προκειμένης διαιρέσεως τὸν ἑκάστου ὁρισμὸν, ἅτοι ὑπογραφὴν ἀποδοῦναι, ἐκ λεγομένους τὰ χρήσιμα πρὸς τὴν ἑκάστου ἀπόδοσιν· ὡς καὶ αὐτὸς ἐποίησε· Φησὶ γὰρ, ὅτι γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι, κατηγορούμενον· Τὸ μὲν γὰρ κατὰ πλειόνων, διακρίνει αὐτὸ τὴν ἀτόμων, ἐκείνων καθ' ἓνὸς λε

σεων· ἐπεὶ θεῖ τὰ κατὰ μέρος πολλὰ ὄντα καὶ ἄπειρα ὧν
ἡμῖν οὐ ποιοῦσιν, αἱ δὲ καθ' ἑνὸς κατηγορούμεναι τῶν μερι-
κῶν κατηγοροῦνται· εἰκότως ἐκβάλλονται· καὶ λοιπὸν κα-
ταλείπονται αἱ πέντε φωναὶ, τὸ γένος, τὸ εἶδος, καὶ ἡ μέ-
ση τούτων διαφορὰ, τὸ ἴδιον, καὶ τὸ συμβεβηκός· ὑφ' ἃς
φωνὰς ὁρίσεις ἅπαντα τιθοῦτε, καὶ πᾶσαν ἄλλην φω-
νὴν, καὶ κίνησιν εἴπης, καὶ ἄπειρον· καὶ ταῦτα μὲν ἐρη-
ται κεφαλαιωδῶς ἐν τῇ διαιρέσει· τῶν δὲ πλατυκωτέ-
ρων αὐτῆς ἐξήγησιν ἐξῆς ἐξετάσωμεν.

Τῶν γὰρ φω-
νῶν, αἱ μὲν ἐστὶν ἄσημοι, οἷον κναξ, βλίτηρι, αἱ δὲ, σημαν-
τικαί· καὶ οὐδεὶς ἡμῖν πρὸς τὴν ἀσήμων λόγος· λέγονται
δὲ αἱ μὲν ἄσημοι, ἀκατηγόρητοι, ὡς μὴ κατὰ τινος ἀγο-
ρεύωμεναι, ἢ λεγόμεναι· τῶν δὲ σημαντικῶν· αἱ μὲν, κα-
θ' ἑνὸς λέγονται εἶναι, ὡς σωκράτης, πλάτων· αἱ δὲ, καὶ
κατὰ πλειόνων, ὡς τὸ γένη, καὶ τὰ εἴδη, καὶ αἱ διαφοραὶ,
καὶ τὰ ἴδια, καὶ τὰ συμβεβηκότα· ἔρηται δὲ ὅτι πρὸς τ
μερικῶν οὐδεὶς λόγος τοῖς φιλοσόφοις· Τῶν δὲ κατὰ
πλειόνων λεγομένων, αἱ μὲν, οὐσιωδῶς κατηγοροῦνται,
ὡς τὰ γένη, καὶ αἱ διαφοραὶ, καὶ τὰ εἴδη· συμπληρω-
καὶ γὰρ ἐν τῇ οὐσίᾳ· αἱ δὲ, οὐκ οὐσιωδῶς, ὡς τὰ ἴδια,
καὶ τὰ συμβεβηκότα· οὐ γὰρ συμπληροῖ ταῦτα τὴν τῶν
ὑποκειμένων οὐσίαν· Τῶν δὲ οὐσιωδῶς κατηγορου-
μένων, τὰ μὲν, κατὰ διαφερόντων τῷ εἴδει λέγεται, ὡς
τὰ γένη, καὶ αἱ διαφοραὶ· τὰ δὲ, κατὰ διαφερόντων τῷ
ἀριθμῷ, ὡς τὰ ἄτομα· ἃ πάντα διαφέρει ἀλλήλων οὐ τῷ
εἴδει, ἀλλὰ τῇ ὕλῃ, ἢ τῷ ἀριθμῷ· οἷον ὁ ἐμὸς ἵππος, καὶ
ὁ βασιλέως· οὗτοι γὰρ οὐ τῷ εἴδει διαφέρουσιν ἀλλήλων,
ἀλλὰ τῇ ὕλῃ, ἢ τῷ ἀριθμῷ· καὶ πάλιν, ὁ δέκα ἀριθμὸς συ-
κειται ἐκ δέκα μονάδων οὐ συγκεχυμένων, ἀλλὰ ἀλλή-
λων ἀποκεχωρισμένων· ἐν γὰρ σωρεύεται αἱ μονάδες,

φωνὰς παρέλαβον, ἀλλ' ὅτι ἀνάγκη τρόπον τινὰ πᾶσαν φωνὴν ὑπὸ μίαν τάττειν ἀνάγεσθαι τὴν φωνῶν. Τῶν φωνῶν αἱ μὲν, εἰσὶν ἄσημοι, οἷον, κναξ, βλίτυρι· αἱ δὲ, σημαντικαὶ, αἱ πῖνες ἢ καθ' ἑνὸς λέγειν, ὡς ὅταν ἔπωμεν πλάτωνα, ἢ σωκράτη, ἢ πνὰ τῶν καθ' ἕκαστα, ἢ κατὰ πλειόνων. Αὖ πάλιν δὲ αἱ κατὰ πλειόνων, ἢ οὐσιωδῶς κατηγοροῦνται, ἢ ἐπουσιωδῶς. Καὶ ἡ οὐσιωδῶς, ἢ ἐν τῷ τί ἐστιν, ἢ ἐν τῷ ὁποῖόν τί ἐστι. Καὶ μὲν ἐν τῷ ὁποῖόν τί ἐστιν, ἔστιν ἡ διαφορά. Εἰ δὲ ἐν τῷ τί ἐστιν, ἢ κατὰ τῶν διαφερόντων τῷ εἶδει, ὡς τὸ γένος, ἢ κατὰ διαφερόντων τῷ ἀριθμῷ, ὡς τὸ εἶδος. Εἰ δὲ ἐπουσιωδῶς, ἢ καθ' ἑνὸς εἴδους καὶ κατηγορεῖται, ὡς τὸ ἴδιον, ἢ κατὰ πλειόνων, ὡς τὸ συμβεβηκός. Καὶ ἐκ ταύτης τῆς διαιρέσεως φαίνεται ὅτι ἀνάγκη πᾶσαν φωνὴν ταῖς ἑρμηνείαις πέντε φωναῖς κεχρῆσθαι, καὶ οὔτε πλείοσιν, οὔτε ἐλάττοσιν· ἡρήκαμεν γὰρ ὅτι τῶν φωνῶν αἱ μὲν, εἰσὶν ἄσημοι, αἱ δὲ, σημαντικαί· καὶ τῶν σημαντικῶν, αἱ μὲν, καθ' ἑνὸς κατηγοροῦνται, αἱ δὲ, κατὰ πλειόνων. τῶν δὲ κατὰ πλειόνων, τὸ γένος ἐστὶ, καὶ τῷ εἶδος, καὶ ἡ διαφορὰ, καὶ τὰ λοιπὰ δύο· ἐπὰ οὖν οὐσῶν φωνῶν, τῶν ἀσήμων, καὶ τῶν καθ' ἑνὸς λεγομένων, καὶ τῶν κατὰ πλειόνων, γένους λέγω, καὶ διαφορᾶς, καὶ εἴδους, καὶ ἰδίου, καὶ συμβεβηκότος, τῶν δύο ἐξαιρεθεισῶν φωνῶν, αἱ πέντε μόναι ἀπολείπονται. Ἐξαιροῦνται μὲν γὰρ αἱ ἄσημοι, ὡς μηδὲν συμβαλλόμεναι, μήτε γραμματικοῖς, μήτε ῥήτορσι, πολλῷ δὲ μᾶλλον φιλοσόφοις. Ἐκβάλλονται δὲ καὶ αἱ καθ' ἑνὸς, ἐπειδὴ μερικαὶ ὑπάρχουσι· τὰ δὲ κατὰ μέρος, ἄπειρα καὶ ἀπερίληπτα· οἱ δὲ φιλόσοφοι ὡς ημονικῶς πάντα ἐπαγγέλλονται ἐπίστασθαι· ὡς δὲ φησιν ὁ πλάτων ἐν τῷ κρατύλῳ, ὅτι ὡς ἡμῖν ἔοικε παρὰ τὸ εἰς ἐπίστασιν πνακίμας καὶ ὄρον ἄγειν τῶν ζητη-

σεων·

ὄρεξιν ἀπλυπήσιας, ἢ ἐκ τοῦ σωαμφοτέρου, ὡς τὸ, ζέσις
σιν τοῦ περὶ τὴν καρδίαν αἵματος δι' ὄρεξιν ἀπλυπήσε-
ως. καὶ ὅτε μὲν ἐξ ὕλης μόνης, ἢ εἴδους μόνου ἐλήφθη, ἀτ-
τελής ἐστιν, ὅτε δὲ ἐκ τοῦ σωαμφοτέρου, τότε ἐστὶ τέλειος
ὅρος, ἐπειδὴ τὸ σωαμφότερον σημαίνει. ἔστι δὲ τέλειος ὅ-
ρος, ὁ ἐκ γένους καὶ συσατικῶν διαφορῶν, ἐπέχει γὰρ τὴν
μὲν τῆς ὕλης τάξιν, τὸ γένος, τὴν δὲ τοῦ εἴδους, αἱ δια-
φοραί. τοῦτον τοίνυν τὸν ὅρον τὰ μέσα τῶν πραγμάτων ε-
πιδέχεται. οὔτε γὰρ τὰ πρώτιστα, οὔτε τὰ ἔσχατα γένη ἐ-
χει, οὔτε μὴν συσατικὰς διαφορὰς, ἀλλ' εἴδη, οἷον, τὰ ἄτ-
τομα. ὅθεν καὶ αὐτῶν ὑπογραφὰς καὶ οὐχ ὁρισμοὺς ἀπο-
δίδομεν. οἷον, σωκράτης ἐστὶν υἱὸς σωφρονίσκου, ἀθηναῖος,
φιλόσοφος, προγάστωρ, φαλακρὸς, γρυπὸς, καὶ ἔτι ἄλλα
συμβέβηκεν αὐτῷ. ὅσοι δὲ λέγουσι διαφορὰς ἔχειν τὰ
γενικώτατα συσατικὰς, οὐκ ὀρθῶς λέγουσιν. οὐ γὰρ συσατι-
κὰς ἔχει διαφορὰς, ἀλλὰ διαιρετικὰς, εἴγε πᾶν τὸ συσατι-
κὸν πρεσβύτερόν ἐστι τοῦ συνισαμένου. ὡς γὰρ καὶ πρὸ βραχέος εἴπον, αἱ συσατικαὶ τινῶν διαφοραὶ πολλῷ πρότερον τῶν γενικωτάτων εἰσὶ διαιρετικαί. τὸ γοῦν λογικὸν, καὶ τὸ θνητὸν, συσατικὰ τοῦ ἀνθρώπου ὄντος, καὶ τὸ θνητὸν καὶ ἄλογον, τοῦ ἵππου, διαιρετικά εἰσι τοῦ γένους, λέγω τοῦ ζώου. τοῦτο γὰρ διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον, εἰς θνητὸν καὶ ἀθάνατον. καλῶς ἄρα εἴρηται ὅτι αἱ συσατικαὶ τῶν διαφοραὶ πρεσβύτεραι αὐτῶν εἶναι βούλονται. τοῦ δὲ γενικωτάτου πρεσβύτεραι δεῖν. τούτων οὕτως ἐχόντων, εἰκότως τὴν τοῦ γένους τοῦ καθόλου διδασκαλίαν διὰ ὑπογραφῆς ποιεῖται, ὁρισμὸν αὐτὸ ἀποδοῦναι μὴ ἔχων. ἵνα δὲ μάθωμεν τίς ποτέ ἐστιν ἡ ἀποδοθεῖσα ὑπογραφὴ, καὶ πόθεν ἔλκηται, ῥητέον οὕτως. ἅμα δὲ μαθησόμεθα, ὅτι κατὰ τύχην ὁ πορφύριος τὰς πέντε ταύτας

ἄτοπον. διῃρεθήσεται γὰρ τὰ δέκα γένη ταῦτα, ἡ οὐσία, καὶ τὸ ποσὸν, καὶ τὸ ποιὸν, καὶ τὰ ἄλλα, ὅσα ἐστὶ τὸ γένος ὁμώνυμον. ἡ μὲν ἀπορία τοιαύτη. δυνάμεθα δὲ αὐτὴν ἀρτίως προαπελυσάμεθα, ἐν οἷς ἐλέγομεν, ὅτι ἐνδέχεται καὶ τοῖς διαφέρουσι κατ' οὐσίαν τὰ αὐτὰ συμβεβηκέναι, καθ' ἃ καὶ ὑπογραφὴ γίγεται. ὥσπερ οὖν καὶ ταῖς δέκα κατηγορίαις τὴν αὐτὼ σωρεβὴν πρὸς τὰ ὑπ' αὐτὰ σχέσιν ἀναδέξασθαι. ὡς γὰρ ἡ οὐσία περιεκτικὴ οὖσα σώματος καὶ ἀσωμάτου γένος αὐτῶν ἐστιν, ἑκάτερον εἰδῶν ὄντων, οὕτω καὶ τὸ ποσὸν δύο εἰδῶν τοῦ συνεχοῦς, καὶ τοῦ διωρισμένου, περιεκτικὸν ὄν, γένος αὐτῶν ἐστι· καὶ τὸ ποιὸν ὡσαύτως πλείονα μὲν περιέχον γένος αὐτῶν ἐστι, καὶ αὐτὸ τῶν ἄλλων ὁμοίως. ὥστε ἡ αὐτὴ σχέσις πάσαις ταῖς κατηγορίαις συμβέβηκε. Καὶ οὐ δεῖ θαυμάζειν εἰ τῶν κατ' οὐσίαν διαφερόντων ἐνδέχεται μίαν ὑπογραφὴν ἀποδιδόναι, καὶ μὴ τὰ αὐτὰ ποιεῖν τὰ ὑπογραφόμενα πράγματα. αὐτίκα γοῦν ἐν τοῖς δέκα γένεσιν ὅμοιον πρόσεστι τὸ κατὰ πλειόνων κατηγορεῖσθαι, ἄλλου κατὰ τὴν αὐτῶν, ἢ καὶ τὰ τοσούτων. τὸ μὲν γὰρ, εἰ τύχοι, κατηγορεῖται καὶ τὰ πασάρων εἰδῶν· τὸ δὲ, κατὰ τοσῶνδε, ἢ τοσῶνδε. καὶ πάντα ὁμώνυμά ἐστι, καὶ κατὰ πλειόνων κατηγορεῖται, οὐ μὴν ἢ τῶν αὐτῶν, ἢ τοσούτων. ἡμεῖς οὖν ὑπογραφὴν λαμβάνεται ἢ ἐξ ἐτυμολογίας, ἢ ἐκ τῆς τῶν συμβεβηκότων συνδρομῆς, ἣ καὶ κυρίως ὑπογραφὴ λέγεται. ἐξ ἐτυμολογίας μὲν, οἷον, ἄνθρωπός ἐστι τὸ δυνάμενον ἄνω ἀθρεῖν, ἢ τὸ ἀναθεωρεῖν ἃ ὁπωμένη, ἢ τὸ ἄνωθεν ἔχον τὸ ὦπας. ἐκ συμβεβηκότων δὲ, οἷον, ἄνθρωπός ἐστι ζῷον ὀρθοπρόσπατητικὸν πλατυόνυχον, ὡς ἐφθέγξατο ἡμῖν ἐπόπτης. ὁ δὲ ὁρισμὸς, ἢ ἐξ ὕλης λαμβάνεται, ὡς ὅτι ὁριζόμεθα τὸν θυμὸν, ζέσιν τοῦ περικαρδίου αἵματος, ἢ ἐξ εἴδους, ὡς τὸ,

σόμεθα. οὔ ἄρα μία ἐστὶ γένος, τούτου οὐδὲ τὰς διαφορὰς πάσας συναπτικὰς εἶναι ἐνδέχεται. μήτε οὖν γένους ὄντος, μήτε συναπτικῶν διαφορῶν τοῦ καθολικωτάτου γένους, οὐδὲ ὁρισμὸν εἶναι τούτου ἐνδέχεται. πρῶτα μὲν οὖν διὰ τοῦτο οὐκ ἔστιν ὁρισμὸν τοῦ γένους ἀποδοῦναι. ἔπειτα δὲ καὶ διότι ὁμώνυμον ἐστὶ τὸ γένος, δικαίως ἄν λέγεται, ὡς ἐν ταῖς κατηγορίαις ἐστὶ μαθεῖν, τῶν δὲ ὁμωνύμων ὅρους οὐκ ἔστιν ἀποδοῦναι, ἐπεὶ καὶ ὀνόματα μόνα ἐστὶ ψιλὰ τοῖς πράγμασι τοῖς ὑπ' αὐτῶν σημαινομένοις διαφέροντα. ὁ δὲ ὁρισμὸς, οὐσίαν σημαίνει. ὧν δὲ ὁρισμοὶ οἱ αὐτοί, τούτων καὶ τὰ πράγματα τὰ αὐτά. οὐκ ἄρα ἐνδέχεται τῶν ὁμωνύμων ἕνα κοινὸν ὁρισμὸν ἀποδοῦναι, ὅθεν καὶ διὰ τῆς ὑπογραφῆς αὐτὰ σημαίνομεν. ἐνδέχεται γὰρ καὶ τοῖς κατ' οὐσίαν διαφέρουσι τὰ αὐτὰ συμβεβηκότα ὑπάρχειν. ὥσπερ οὖν καὶ ταῦθ' ὅμοιος οὐσιῶν διαφορὰς καὶ τὰς οὐσίας τοῖς γένεσι, μία καὶ ἡ αὐτὴ σχέσις αὐτοῖς συμβέβηκε πρὸς τὰ ὑποβεβλημένα αὐτοῖς εἴδη, καθ' ὧν τὰ μὲν, γένη κέκληται, τὰ δὲ, εἴδη. διὰ ταῦτα οὖν ὁ πορφύριος οὐκ ὁρισμὸν τοῦ ἁπλῶς γένους, ἀλλὰ ὑπογραφὴν ἀποδέδωκεν, ἵνα κατὰ τῶν δέκα γενῶν αὐτὴν ἁρμόσαι δώσωμεν. ἴσως δέ τις καὶ πρὸς ταῦτα ἡμῖν ἀπορήσειεν, ὅτι εἰ τὰ ὁμώνυμα οὐχ ὁριζόμεθα, ὁ γὰρ ὁρισμὸς οὐσίαν σημαίνει, ἐκεῖνα δὲ ψιλὰ ἔστιν ὀνόματα, διὰ τί αὐτῶν τὴν ὑπογραφὴν ἀποδίδομεν; καὶ γὰρ ἡ ὑπογραφὴ διὰ τῶν συμβεβηκότων σωζομένης τῶν ὑποκειμένων αὐτοῖς οὐσίαν σημαίνει, εἰς ἔννοιαν γὰρ ἄγει ἡμᾶς τῆς οὐσίας, ἃ ταῦτα συμβέβηκε. ἐπεὶ οὖν μίαν ὑπογραφὴν τῶν ὁμωνύμων ἀποδίδομεν, καὶ διὰ τῆς ὑπογραφῆς εἰς ἔννοιαν τῆς ὑποκειμένης οὐσίας ἐρχόμεθα, δυρισθήσεται οὐ μόνον τὰ ὀνόματα, ἀλλὰ καὶ πράγματα τὰ αὐτὰ, ὅπερ,

γὰρ ὡσυμβέβηκε τῇ ἀνθρώπου οὐσίᾳ. οὐ γὰρ συμπλη-
ροῖ ταῦτα τὸν τοῦ ἀνθρώπου οὐσίαν, ἀλλ' ὡσυμβέβη-
κεν αὐτῇ. Ταύτην οὖν διαφέρει ὁ ὁρισμὸς τῆς ὑπογρα-
φῆς, τῷ, τὸν μὲν ὁρισμὸν ἐκ τῆς οὐσίας δηκνύναι τὰ πρᾶ-
γματα, τῶν δὲ ὑπογραφὴν, ἐκ τῶν συμβεβηκότων.
Χρὴ ποχραφὴν δὲ λέγεται, εἶον σκιαγραφία τίς οὖσα. ὡς
πρὸ γὰρ ἡ παρὰ τοῖς γραφοῦσι σκιαγραφία δηλοῖ μὲν τὸ
μίμημα τῆς εἰκόνος, οὐ μὴν διηρθρωμένως: οὕτω καὶ ἡ ὑ-
πογραφὴ δηλοῖ μὲν πως τὸ πρᾶγμα, οὐ μὴν τοι διηρθρω-
μένως. ὁ δὲ ὁρισμὸς, αὐτὸ ἡμῖν τὸ πρᾶγμα σαφῶς πα-
ρίστησιν. ἀναλογοῖ οὖν ὁ μὲν ὁρισμὸς τῇ πλήρει γραφῇ:
ἡ δὲ ὑπογραφὴ τῇ σκιαγραφίᾳ. διὸ καὶ ὑπογραφὴ λέ-
γεται. Ἐπεὶ οὖν οἱ ὁρισμοὶ λαμβάνονται ἐκ γενῶν
καὶ διαφορῶν συναπτῶν, τοῦ δὲ καθολικωτάτου γένους
οὐκ ἔστι γένος, ἵνα ἐξ αὐτοῦ, καὶ τῶν διαφορῶν, τὸν τοῦ γέ-
νους ἀποδῶσιν ὁρισμόν: πρὸς δὲ τοῦ καθολικωτάτου γέ-
νους ναὶ αὐτῷ ὑπάρχει ὁ λόγος: διὰ τοῦτο μὴ δυνάμενος
ὁρισμὸν τοῦ γένους ἀποδοῦναι ὁ πορφύριος, διὰ ὑπογρα-
φῆς αὐτὸ ἐσήμανεν. ἐφ' ὧν γὰρ πραγμάτων μηδαμῶς
δυνάμεθα ὁρισμοὺς ἀποδοῦναι, ἀναπτόμεν διὰ ὑπογρα-
φῆς αὐτὰ σημαίνειν. ἀπορούμεν δὲ ὁρισμὸν ὧν τοῦ γένους
ἀποδοῦναι, πρῶτον μὲν ὡς οὐδὲν ἐποιμεν, διότι πρὸς τοῦ
ἁπλῶς γένους ποιούμεθα τὸν λόγον, τοῦ παντὶ γένει ἐφαρ-
μόσαι δυναμένου: οὐκ ἔστι δὲ τοῦ καθολικωτάτου γένους
εὑρεῖν γένος: οὕτω γὰρ οὐκ ἂν ἦν καθολικώτατον: γένους
δὲ μὴ ὄντος οὐδὲ ὁρισμὸν εἶναι ἐνδέχεται, πᾶς γὰρ ὁρισ-
μὸς ἐκ γένους σύγκειται καὶ διαφορῶν συναπτῶν τοῦ ὁρι-
ζομένου, γένους δὲ μὴ ὄντος, οὐδὲ τὰς συναπτὰς διαφο-
ρὰς εἶναι ἐνδέχεται, αἱ γὰρ συναπταὶ διαφοραὶ τῶν εἰ-
δῶν, αἱ αὐταὶ τῶν γενῶν εἰσὶ διαιρεταὶ, ὡς προϊόντες ἐν-

μασίας, εἴτε οἱ ὀνοματοθέται, διὰ τοῦτο, ἴσως, εἶπον ἀμφιβάλλων καὶ αὐτός.

» Τρικῶς οὖν τοῦ γένους λεγομένου, πρὸ τοῦ τρίτου παρὰ τοῖς φιλοσόφοις ὁ λόγος.

Ἀπαριθμησάμενος ὁ πορφύριος τὰ σημαινόμενα τοῦ γένους, φησὶ πρὸ τοῦ τρίτου ἦναι παρὰ τοῖς φιλοσόφοις τὸν λόγον.

» Ὃ καὶ ὑπογράφοντες ἀποδιδόασι, γένος ἦναι λέγοντες, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, οἷον, τὸ ζῷον.

Δεῖ οὖν ἡμᾶς πρότερον εἰπεῖν τί ἐστιν ὑπογραφή, καὶ τὸ ὅρος, καὶ τί διαφέρει ὁ ὁρισμὸς ὑπογραφῆς, εἶθ' ἑξῆς τὴν αἰτίαν ζητῆσαι, τίνος ἕνεκα δι' ὑπογραφῆς αὐτὸ διδάσκει, καὶ μὴ δι' ὁρισμοῦ. κάλλιστα μὲν οὖν εἰώθασιν οἱ ὁρισμοὶ τὴν ἐσίαν τοῦ ὑποκειμένου πράγματος σημαίνειν, καὶ περικλείειν μὲν τὰ οἰκεῖα, ἀφιέναι δὲ ἀφαιρεῖσθαι τῶν ἀλλοτρίων.

Ῥητέον οὖν ὡς ἕκαστον τῶν πραγμάτων καὶ ἓν ἐστι καὶ πολλά. καὶ διὰ τοῦτο σημαίνεται ἕκαστον, ἢ δι' ὀνόματος, καὶ διὰ λόγου, δι' ὀνόματος μὲν, ὅταν ὡς ἓν ὑπολαμβάνηται, διὰ λόγου δὲ, ὅταν ὡς πολυμερές. οἷον, τὸν ἄνθρωπον σημαίνομεν καὶ διὰ τοῦ ἀνθρώπου ὀνόματος, καὶ διὰ τοῦ λόγου τὸ λέγοντος, ζῷον λογικὸν θνητόν. οὗτος δὲ ὁ λόγος ὁ σημαντικὸς τῶν ὑποκειμένων πραγμάτων, ἢ ἐκ τῶν κατ' οὐσίαν ὑπαρχόντων τοῖς πράγμασιν ἐλλιμμένος ἐστὶν, ἢ ἐκ τῶν συμβεβηκότων αὐτοῖς. εἰ μὲν οὖν ἐκ τῶν οὐσιωδῶς ὑπαρχόντων αὐτοῖς λαμβάνηται, καλεῖται ὁρισμὸς, ὡς ζῷον λογικὸν θνητόν· συμπληροῖ γὰρ τοῦτο τὴν οὐσίαν τοῦ ἀνθρώπου. εἰ δὲ ἐκ τῶν συμβεβηκότων αὐτοῖς ἐλλιμμένος ἦν, καλεῖται ὑπογραφὴ, οἷον, ἄνθρωπος ἐὰν ζῷον ὀρθὸν πρηστικὸν, πλατυόνυχον, χερσὶ χρώμενον· ταῦτα

φυσικῶς σκοπῶν, ἀλλὰ περιπόντως τῇ λογικῇ πραγματείᾳ. Καὶ ὅπερ τὸ παρὰ τοῖς φιλοσόφοις γένος πρὸς οὐδὲν ὁ λόγος, ἔοικε τοῖς ἐρημικοῖς γένεσι, καὶ ὁμοιότητα πρὸς ταῦτα ἔχει.

» Ἁπλῶς δὲ πάλιν γένος λέγεται, ὧ ὑποτάσσεται τὸ » εἶδος, καθ' ὁμοιότητα ἴσως τούτων ἐρημικόν. καὶ γὰρ » ἀρχή τίς ἐστι τοιοῦτον γένος τῶν ὑφ' αὑτό, καὶ δοκεῖ καὶ » τὸ πλῆθος περιέχειν πᾶν τὸ ὑφ' αὑτό.

Τρίτον ἀπαριθμεῖται σημαινόμενον τοῦ γένους, περὶ οὗ καὶ τοῖς φιλοσόφοις ὁ λόγος. ὁμοιότητα δέ τινα ἔχει πρὸς τὰ πρὸ αὐτοῦ. ὥσπερ γὰρ τὸ πρῶτον σημαινόμενον τοῦ γένους δύο τινὰς ἔχει σχέσεις τὴν πολλῶν πρὸς ἕν, καὶ τὴν αὐτῶν πρὸς αὐτόν, οὕτω καὶ τὰ ἑξῆς σχέσιν ἔχει καὶ πρὸς τὸ γένος, καὶ πρὸς ἄλληλα. πάλιν ὥσπερ τὸ δεύτερον σημαινόμενον σχέσιν ἔχει ἑνὸς πρὸς ἕν τὴν τοῦ αἰτίου καὶ αἰτιατοῦ, οὕτω καὶ τοῦτο σχέσιν ἔχει ἑνὸς πρὸς ἕν. οἷον, τοῦ ζῴου πρὸς ἄνθρωπον, καὶ αἰτιατοῦ πρὸς αἴτιον. ἴσως μὲν οὖν οἱ ὀνοματοθέται πρῶτοι τὰς διαφόρους τῶν ἀνθρώπων γενέσεις διακρίναι βουλόμενοι, ἐκάλεσαν τὸμὲν Ἡρακλεϊδῶν γένος, τὸ δὲ, Αἰακιδῶν, τὸ δὲ, Πελοπιδῶν, ἔπειτα δεύτερον οἱ φιλόσοφοι κατὰ τὴν τούτων μίμησιν, τὰς παρ' αὐτοῖς ὠνόμασαν γένη. ὡς γὰρ Ἡρακλεϊδῶν γένος οἱ ἐξ Ἡρακλέους γενόμενοι, οὕτω δὴ λέγεται καὶ τὸ ζῷον γένος. τῶν γὰρ μερικῶν ζῴων, ἀνθρώπου, κυνὸς, ἵππου, καὶ τῶν λοιπῶν, γένος λέγεται τὸ ἁπλῶς ζῷον. πολλάκις δὲ οἱ φιλόσοφοι δεύτερον πρότερον τὰ παρ' ἑαυτοῖς γένη, ἢ τὰ ὕστερον ὠνόμασαν οἱ ὀνοματοθέται κατὰ μίμησιν τούτων, τὰ ἐν τῇ συνηθείᾳ τῶν ἀνθρώπων γένη ὀνόμασαν. δῆλον τοίνυν ἑκάτερον ὑπογεγραῖν. ἐπεὶ δὲ ἀμφίβολον ὑπάρχει τοῦτο, ἔστι οἱ φιλόσοφοι δεύτερον τὴν ἀρχὴν τῆς τοιαύτης ὀνο-

τὸ δὲ πρῶτον σημαινόμενον τῇ φύσει, ἡμῖν ἐστι δεύτερον, καὶ τὸ τῇ φύσει δεύτερον, ἡμῖν πρῶτον: καὶ καθόλου τὰ τῇ φύσει πρῶτα, ἡμῖν δεύτερα ἐστι, τὰ δὲ τῇ φύσει δεύτερα, ἡμῖν πρῶτα, οἷον, φύσει πρῶτον ἡ ὕλη καὶ τὸ ἄδος, ἔπειτα τὰ τέσσαρα στοιχεῖα: ἔπειτα σάρκες καὶ ὅσα, καὶ τὰ λοιπὰ τῶν ὁμοιομερῶν: εἶτα ἄνθρωπος. καὶ ἡμῖν φύσις, οὕτως ἀπὸ τῶν ἀνωτέρων εἰς τὰ δεύτερα φέρεται. ἡμᾶς δὲ ὡς ἄτε κατώτερα ὑδύοντες, καὶ ὑπτίαι βλέποντες, καὶ ἀπὸ τῶν προσεχεστέρων ὧν τὰ πορρώτερα, ἢ ἀπὸ τῶν ἐγγυτέρων ὧν τὰ αὐλότερα βουλόμενοι αἱρεῖσθαι, πρῶτον μὲν γινώσκομεν τὸν ἄνθρωπον: εἶτα ὅτι σύγκειται ἐξ ὀστέων καὶ σαρκῶν, ἔπειτα ὅτι ταῦτα ἐκ τῶν τεσσάρων στοιχείων, εἶτα ὅτι ταῦτα ἐξ ὕλης καὶ εἴδους. ὥστε τὰ τῇ φύσει πρότερα, τῇ γνώσει ἡμῖν ὕστερα γίνονται: καὶ τὰ τῇ φύσει ὕστερα, ἡμῖν τῇ γνώσει πρότερα. σαφέστερον οὖν τὸ πρῶτον: ἀσαφέστερον δὲ τὸ δεύτερον. διὰ τοῦτο τῶν περὶ αὐτῶν διδασκαλίαν οὕτω προεχειρίσατο ὁ πορφύριος. δεῖ γὰρ ἐκ τῶν σαφεστέρων ἡμᾶς ποιῆσαι τὴν διδασκαλίαν. Ἄξιον δὲ ἀπορῆσαι, διὰ τίνα αἰτίαν ὄντων καὶ ἑτέρων συμαινομένων τοῦ γένους, αὐτὸς μόνος ταῦτα ἀπεριθμήσατο. ὅτι δὲ ἔστι καὶ ἕτερα σημαινόμενα, δῆλον ἐντεῦθεν, ὁ γὰρ πλάτων γένη ἔλεγε τοῦ ὄντος, οὐσίαν, ταυτότητα, ἑτερότητα, κίνησιν, καὶ στάσιν. ταῦτα οὖν οὐκ ἀπεριθμήσατο, ἐπειδὴ πρείκειτο αὐτῷ, καθὼς προεσήμανε περὶ τῶν τῷ ἀριστοτέλει δοκούντων γράφειν. φαίνεται δὲ καὶ αὐτὸς ὁ ἀριστοτέλης γένος καλῶν ἐν τῇ φυσικῇ τὴν ἐν ἑκάστῃ τέχνῃ ὑποκειμένην ὕλην, ὡς ἐν τῇ τεκτονικῇ τὰ ξύλα, καὶ ἐν τῇ ἰατρικῇ τὰ ἀνθρώπινα σώματα: καὶ ἐν τοῖς φυσικοῖς ἅπασι τὴν πρώτην ὕλην. ἀλλ' οὐ πρόκειται τῷ πορφυρίῳ περὶ τούτων

πίνδαρον δὲ θηβαῖον. Ἰσέον δὲ ὅτι ἡ χέσις κατὰ πάσας τρόπους λέγεται, ἢ κατὰ τύχην, ὡς τοῦ διδασκάλου πρὸς τὸν μαθητὴν· ἢ κατὰ τύχην, ὡς τοῦ δεσπότου πρὸς τὸν δοῦλον· ἢ κατὰ προαίρεσιν, ὡς τοῦ φίλου πρὸς τὸν φίλον· ἢ κατὰ φύσιν, ὡς τοῦ πατρὸς πρὸς τὸν υἱόν. ἢ οὖν τῶν ἠρμένων χέσις φύσει ἐστί.

» Τοῦτο δὲ ἔοικε πρόχειρον εἶναι τὸ σημαινόμενον. ἡρακλῆδαι γὰρ λέγονται οἱ ἀπὸ γένους κατονόμενοι ἡρακλέους, καὶ κεκροπίδαι οἱ ἀπὸ κέκροπος, καὶ οἱ τούτων ἀρχισάσης. καὶ πρότερόν γε ὠνομάσθη γένος ἡ ἑκάστου γένεσις ἀρχή, μετὰ δὲ τῶτο καὶ τὸ πλῆθος τῶν ἀπὸ μιᾶς ἀρχῆς, οἷον ἡρακλέους. ὅ ἀφορίζοντες, καὶ ἀπὸ τῶν ἄλλων χωρίζοντες ἔφαμεν τὸ ὅλον ἄθροισμα ἡρακλειδῶν γένος.

Ἀσάφειαν πρὸ ἐποίησεν ὁ φιλόσοφος ἀμέσως εἰς τὸ πρῶτον σημαινόμενον τοῦ γένους ἐπελθών, καὶ μὴ ὥσπερ μνάμονος αὐτὸ τοῦτο. ὤφελε γὰρ διορίσασθαι πρὸ ποίου σημαινομένου τοῦ γένους λέγει. ὅτι γὰρ πρὸ τρόπου ποιεῖται τὸν λόγον, καὶ οὐ πρὸ τοῦ προσηκόντως ἡμῖν εἰρημένου δηλοῖ τε ὑποδείγματα τίθησι. φησὶ γὰρ, ὅτι τοῦτο τὸ σημαινόμενον τοῦ γένους πρόχειρον ἔοικεν ἡμῖν ἐκ τῆς συνηθείας εἶναι, καὶ γνωριμώτερον. πρόχειρον δὲ τῇ συνηθείᾳ λέγει σημαινόμενον, τὸ ἀφ' ἑνὸς τῶν πολλῶν, ἢ εἰς τοὺς πολλούς ἐστιν. Ἄξιον δὲ ἀπορῆσαι, διὰ τί τὸ πρῶτον ἀποδοθὲν γένος πρόχειρον εἶπε, καὶ μὴ τὸ τοῦ ἑνὸς πρὸς ἕνα χέσιν, λέγω δὴ τὸ δεύτερον· τοῦτο γὰρ πρότερον ὁρᾶται ἡ φύσις ἕνα γὰρ ἐξ ἑνὸς πρῶτον ποιεῖ· καὶ οὕτω πολλοὺς ἐκ πολλῶν. Ἐροῦμεν οὖν πρὸς τοῦτο, ὅτι τὸ μὲν δεύτερον σημαινόμενον τοῦ γένους, ὃ ἐστιν ὡς πρὸς ἡμᾶς δεύτερον, τῇ φύσει πρῶτόν ἐστιν· ἀπὸ γὰρ τοῦ ἡρακλέους, πρότερον ἡμεῖς γινόμεθα, ἢ θ' οὕτω τὸ πλῆθος·

νῶν, οἷον, ταυταλιδῶν, καὶ τῶν ἄλλων, καὶ τῆς ἀφ' ἑνὸς ἰσότητος. λέγω δὲ τοῦ ἡρακλείους, καὶ τοῦ πλήθους τῶν ἐχόντων πῶς πρὸς ἀλλήλους τὴν ἀπ' ἐκείνου οἰκειότητα.

Κατὰ ἀποτομὴν τὴν ἀπὸ τῶν ἄλλων γενῶν κεκλημένην.

Ἰδιον δὲ ὅτι, αἱ σημαντικαὶ φωναὶ καὶ τὰ ὀνόματα ἠθέλησαν χωρίζειν τὰ πράγματα ἀπ' ἀλλήλων. καὶ γὰρ ἡ φύσις ἐποίησε τὸ δὲ πᾶν ἄνθρωπον καλεῖσθαι, ἢ κύνα, ἢ ἄλλο τι, ἵνα διὰ τούτων ἀποχωρίσῃ ἕκαστον ἀπ' ἀλλήλων. καὶ γὰρ ἑκάστην τῶν τεχνῶν ὡς μέλλουσάν τι καινότερον καὶ ξενοπρεπὲς παρὰ τὰς ἄλλας τέχνας διδάσκειν, τοῖς οἰκείοις ὀργανικοῖς ὀνόματα ἐπιτίθησιν, ἵνα ἔχῃ πῶς αὐτὸ σαφηνίσαι. οὕτω γὰρ καὶ οἱ γεωμέτραι πολλὰς διαφορὰς τριγώνων εὑρηκότες, οἷον, τὸ μὲν, ἴσας ἔχον τὰς τρεῖς πλευρὰς, τὸ δὲ τὰς δύο μόνον, τὸ δὲ, τὰς τρεῖς ἀνίσους, ὀνόμασιν οἰκείοις κέχρηνται, τὸ μὲν ἴσας ἔχον τὰς τρεῖς πλευρὰς, ἰσόπλευρον· τὸ δὲ τὰς δύο μόνον ἴσας, ἰσοσκελὲς, τὸ δὲ τὰς τρεῖς ἀνίσους, σκαληνὸν, βουλόμενοι διὰ τῶν ὀνομάτων ἕκαστον τούτων δηλῶσαι. οὕτως ἄρα τὰ ὀνόματα σημαίνουσι τὰ πράγματα.

Λέγω δὲ καθόλου πάλιν γένος, ἢ ἑκάστου γενικῆς ἀρχή, ἔστι ἀπὸ τοῦ πόντος, ἢ ἀπὸ τοῦ τόπου, ἐν ᾧ τινες γίγνονται. οὕτω γὰρ ὁρίζομαι ἀπὸ παντὸς φάσκων ἔχειν τὸ γένος. ὕλαν δὲ ἀφ' ἡρακλείους. καθόλου πάλιν, πίνδαρον μὲν ἐνβαῖον εἶναι τὸ γένος, πλάτωνα δὲ ἀθηναῖον, καὶ γὰρ ἡ πατρὶς ἀρχὴ τις ἐστὶ γενικῆς ἑκάστου γενέσεως, ὥσπερ καὶ ὁ πατήρ.

Καθόλου πάλιν δύο σχέσεις λαμβάνουσι, σὸς πρὸς σέ, αὐτίου καὶ αὐτοῦ, οἷον, τοῦ ἡρακλείους πρός τινα τῶν ἡρακλειδῶν. αὐτίου μὲν ὄντος τοῦ ἡρακλείους· αὐτοῦ δὲ τὸ ἀπ' ἐκείνου, ἢ τῆς πατρίδος, καὶ τοῦ σὲ αὐτὴν τραφέντος, καθόλου λέγομεν, πλάτωνα μὲν, ἀθηναῖον τὸ γένος,

ἀκροατῆ. δεῖ οὖν πρότερον ἀπαριθμήσασθαι τὰ σημαινόμενα τοῦ κωνὸς· καὶ γάρ ὁ μὲν, ἀσφῶς ἐστιν, ὁ δὲ, χερσαῖος, ὁ δὲ, βαλάττιος, ἅπερ τὸν φιλόσοφον εἰπεῖν, ὅτι πρὸς τοῦ ἀσφῶου ποιοῦμαι τὸν λόγον· τοῦτο οὖν φιλοσόφως ποιῶν ὁ πορφύριος ἀπαριθμεῖται τὰ σημαινόμενα τοῦ γένους, καὶ δηλοῖ πρὸς ποίου αὐτῶν ὁ λόγος. Τὸ, ἔοικεν, οὐχ ὡς ἐνδοιάζων λέγει, ἀλλ' αὐτὶ τοῦ φαίνεται. Τὸ δὲ, ἁπλῶς, πεπερασμένως λέγεται· σημαίνει γὰρ τὸ καθόλου, ὥς φασιν οἱ ἐξηγηταί· ὡς ἁπλῶς εἰπεῖν, αὐτὶ τοῦ καθόλου εἰπεῖν. Καὶ τὸ κυρίως, ὡς ὅταν εἴπῃ ὁ ἀριστοτέλης· ἡ ἁπλῶς γένεσις, τουτέστιν ἡ κυρία. Καὶ τὸ μάτην, χωρὶς τινὸς λόγου, ὡς τὸ ἁπλῶς αὐτὸν τύπτει. Σημαίνει δὲ καὶ τὸ μοναχῶς, ὡς ὅταν εἴπωμεν, ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ· γνῶ δὲ αὐτὶ τοῦ μοναχῶς κεῖται· λέγει γὰρ ὅτι φαίνεται μήτε τὸ εἶδος, μήτε τὸ γένος, μήτε τὰ λοιπὰ μοναχῶς λεγόμενα.

» Γένους γὰρ λέγεται καὶ πηγῶν ἐχόντων πῶς πρὸς ἕν τι,
» καὶ πρὸς ἀλλήλους διαφοράς.

Πρῶτον σημαινόμενον φησὶ τοῦ γένους· τοῦτο δέ ἐστι, καθ' ὃ δύο ἀγέσεις λαμβάνει, πλῆθος πρὸς πλῆθος, καὶ πλῆθος πρὸς ἕνα, οἷον, τῶν ἡρακλειδῶν πρὸς ἡρακλέα, καθ' ὃ ἐξ ἐκείνου λέγονται ἔχειν τὸ γένος, καὶ αὐτῶν τούτων πρὸς ἀλλήλους, καθ' ὃ ἀλλήλοις λέγονται θεῖοι, καὶ ἀνεψιοί, ἢ ὁπωσοῦν ἄλλως. Τὸ δὲ πῶς, καλῶς προσέθηκεν· ἄλλη γὰρ ἄλλου ἐστὶ σχέσις τῶν ὑπὸ τὸ αὐτὸ γένος ὄντων· ἢ γὰρ θεῖοι εἰσὶν ἄλλοι ἄλλων, ἢ τέκνα, ἢ ἀδελφοί, ἢ ἄλλό τι τῶν τοιούτου γένους συμπληρωματικῶν.

» Καθ' ὃ σημαινόμενον τὸ τῶν ἡρακλειδῶν λέγω γένος, ἐκ
» τῆς περὶ αὐτοὺς σχέσεως, λέγω δὴ τοῦ ἡρακλείους, καὶ τὰ πλήθους
» τῶν ἐχόντων πῶς πρὸς ἀλλήλους τὰ ἀπ' ἐκείνου οἰκειότητα.

Τὸ γὰρ εἰπεῖν ἡρακλειδῶν, χωρίζει αὐτὸ τῶν ἄλλων γε

πρότερα. πρεσβύτερον ἄρα τὸ γένος τοῦ εἴδους. καὶ εἰκότως αὐτὸ προτάττει τῶν ἄλλων. Ταύτην γοῦν καὶ ἡ φύσις ἐν τῇ γενέσει τῇ τάξει κέχρηται. παραλαβοῦσα γὰρ τὸ σπέρμα πρῶτα μὲν ζῶον ποιεῖ αὐτὸ καὶ ἔμψυχον, εἶτα πρᾶξιν οὖσα, καὶ αἴσθησιν παραχοῦσα ποιεῖ τὸ ζῶον, εἶτα θυμόν, καὶ ὁρμὴν, καὶ ποιᾷ ἄλογον ζῶον, εἶτα τέλειον τὸν λόγον παραχοῦσα ποιεῖ τὸν ἄνθρωπον. Ὥστε, ὡς μὲν οὐσία, πρόεισι τὰ γένη τῶν εἰδῶν, ὡς δὲ γένη καὶ εἴδη, συνυφέστηκεν ἀλλήλοις, καὶ σώζεται ἐπὶ τὰ πρὸς ἄλληλα αὐτῶν σχέσεως, ἐνόματά ἐστι τὸ γένος καὶ τὸ εἶδος.

Ἄξιον δὲ ζητῆσαι, διὰ τί ποτὲ τοῦ γένους διδάσκων, ἐμνήσθη τοῦ εἴδους, καὶ μὴ τῆς διαφορᾶς, ἢ τῶν ἄλλων; φασὶν οὖν, ὅτι τὸ γένος καὶ τὸ εἶδος πρός τί ἐστι, καθάπερ εἰρήκαμεν, καὶ γὰρ τὸ εἶδος, γένους ἐστὶν εἶδος, καὶ τὸ γένος, εἴδους ἐστὶ γένος. καὶ διὰ τοῦτο εἰκότως ἐμνήσθη τοῦ εἴδους ἅμα τῷ γένει. ἐν γὰρ τῇ τῶν πρός τι διδασκαλίᾳ ἀνάγκη πάντως τὸ ποτὲ βατέρου τούτων διδάσκοντα καθ' ὁ πρός τί ἐστι, καὶ τοῦ λοιποῦ μνημονεῦσαι. Καιρὸν δὲ εἶναι ταῦτα ἀριστοτελικῶς κέχρηται ὁ πορφύριος. ἔστι δὲ ὁ καιρὸς οὗτος. Δεῖ τὸν μέλλοντα ποιήσασθαι διδασκαλίαν περί τινος ὁμωνύμου, τοῦ τὴν αὐτὴν ὑπὸ τῷ αὐτῷ ὀνόματι πολλὰ σημαίνειν, διελεῖν πρῶτον τὸ ὑπὸ τοῦ ὀνόματος πολλὰ σημαινόμενα. εἰδότους εἶναι ποτὲ ποίου τῶν σημαινομένων ἡ διδασκαλία ποιεῖται, ἢ γὰρ ὁμωνυμία κωλύσει ἀσάφειαν καὶ πλανήν γενέσθαι, τοῦ μὲν διδάσκοντος ὡς ἄλλου σημαινομένου τὸ ὄνομα τοῦτο διδάσκοντος καὶ λαμβάνοντος, τοῦ δὲ διδασκομένου ἐπ' ἄλλου: οἷον, εἴτις ποτὲ τοῦ ἀετοῦ κωὸς διδάσκειν βουλόμενος εἴποι, ὁ κύων καύματα ποιεῖ, ἢ διακρίνει ὀπώρας, μὴ πρότερον εἰπὼν περὶ ποίου κωὸς ποιεῖται τὸν λόγον, πλανᾷ ἐμποιήσει τῷ

σιρα, καὶ τίνα τὰ βαθύτερα, ἀκολούθως ἂν τις λέγοι κατὰ μέρος διδασκαλίαν ἠσίβαλε. καὶ πρῶτον περὶ γένους διαλαμβάνει, ὅτι πρώτην τάξιν ἔχει τὸ γένος ἐν τοῖς ἀπεριβλήτοις, καὶ ὅτι πλειόνων ἐστὶ περιεκτικὸν εἰδῶν. Πρῶτον δέ ἐστι τὸ γένος τῶν εἰδῶν κατ' αἰτίαν. καίτοι τῶν πρός τι ἐστὶ τὸ γένος καὶ τὸ εἶδος. ἀλλ' ἔστι τινὰ τῶν πρός τι, ἃ οὐδὲ τὰ ἕτερα τῶν ἑτέρων πρεσβύτερα καὶ αἴτια λέγομεν. οἷον, τὸν πατέρα τοῦ υἱοῦ καθὸ ἄνθρωποι, αἴτιον φαμὲν καὶ πρῶτον. καίτοι ἅμα γινωσκομένων, καὶ ἀλλήλων συναπτικῶν γινομένων τῶν πρός τι, ἢ πρός τί ἐστι. τὰ γὰρ πρός τι, ἀνάγκη πρότερον οὐσίας τινὰς εἶναι. σκοπωμεν οὖν τίνων τὰ πρότερα ὑπάρχουσαν αἰτίαν τῶν πρός τι ἦν ἂν προϋφιστῶσαν σύνοψιν, ἢ χρόνῳ, ἢ φύσει, ἐκείνως καὶ τὰ αἰτίας πρεσβύτερα λέγομεν. οὐ γὰρ τῷ πατρὶ καὶ υἱῷ πρεσβύτερός ἐστιν ὁ πατὴρ χρόνῳ, καθὸ ἄνθρωπός ἐστιν. ὅπερ ἐστὶν· αὐτὸ ἡ οὐσία, ἥτις συναπτικὴ γίνεται τῆς τοῦ υἱοῦ οὐσίας. διὰ τοῦτο οὖν τὸν πατέρα πρεσβύτερον λέγομεν εἶναι τοῦ υἱοῦ, καίτοι πρὸς ἄλληλα λεγομένων. ὁ δὲ ἄρχων τοῦ ἀρχομένου, καὶ ὁ διδάσκαλος τοῦ μαθητοῦ, κατὰ μόνην αἰτίαν πρεσβύτεροι, οὐ τῷ χρόνῳ. τῷ χρόνῳ γὰρ ἴσως ὅτι καὶ ὕστεροι εἰσὶν ὡς ἄνθρωποι, ὁ ἄρχων τοῦ ἀρχομένου, καὶ ὁ διδάσκαλος τοῦ μαθητοῦ. τὸ αὐτὸ οὖν ἐστὶ καὶ τοῦ γένους καὶ τοῦ εἴδους. τὸ γὰρ γένος καὶ τὸ εἶδος, τῶν πρός τι. τὰ δὲ πρός τι ἀνάγκη οὐσίας πρότερα εἶναι. τὸ δὲ γένος κατὰ τὴν οὐσίαν φύσει προϋφίσταται, οὐ χρόνῳ. καὶ συναπτικὸν γίνεται τῆς οὐσίας τοῦ εἴδους. τὸ γὰρ γένος περιέχεται ὑπὸ εἴδους. πᾶν δὲ περιεχόμενον, καὶ φύσει πρότερον τοῦ περιέχοντος, καὶ συναπτικόν. οὐκοῦν καὶ πρότερον κατὰ τὴν οὐσίαν τὸ γένος τοῦ εἴδους, τὰ δὲ πρότερα κατὰ τὴν οὐσίαν τῶν πρός τι κατ' αἰτίαν

τριβωὶ ὅ, τε ἀριστοτέλης, καὶ ὁ ξενοκράτης: ὁ μὲν ἀριστοτέλης ἐν λυκείῳ, ὁ δὲ ξενοκράτης ἐν ἀκαδημίᾳ. ἐλέγοντο θὼ οἱ μὲν τοῦ ἀριστοτέλους περιπατητικοὶ ἐκ λυκείου: οἱ δὲ τοῦ ξενοκράτους περιπατητικοὶ ἐξ ἀκαδημίας. ὕστερον δὲ οἱ μὲν τοῦ ἀριστοτέλους ἀπέλαβον τὴν ἐκ τῆς ἐνεργείας ἐπωνυμίαν, ἀπολίσαντες τὴν ἐκ τοῦ τόπου, καὶ ἐκλήθησαν περιπατητικοί: οἱ δὲ τοῦ ξενοκράτους τὴν ἐκ τοῦ τόπου ἀπολαβόντες, καὶ τὴν ἐκ τῆς ἐνεργείας ἀπόλισαντες, ἐκλήθησαν ἀκαδημαϊκοί. Ἐπεὶ θὼ ὁ φιλόσοφος ἔμελε πᾶσα ὑπόληψιν ἐν τῇ διδασκαλίᾳ ἔχειν τὴν ὑπὸ πλάτωνος ἐρημένων, πλατωνικὸς ὢν καὶ αὐτὸς, καὶ χρήσιμον εἰς τὰς ἀριστοτέλους κατηγορίας γράψειν τὸ βιβλίον, εἶπεν ὅτι διδάξω πρὸς αὐτῶν, ὡς οἱ παλαιοὶ διέλαβον, καὶ τούτων, οἱ ἀριστοτελικοί. διὰ τοῦτο εἶπε καὶ μάλιστα οἱ ἐκ τοῦ περιπάτου. Δέκα ἐστὶ γενικώτατα γένη, οὐσία, ποσὸν, ποιὸν, καὶ τὰ ἄλλα. ὧν ἡμὲν οὐσία πρᾶγμα αὐθύπαρκτον: τὰ δ' ἄλλα, συμβεβηκότα. ἀποδέδοται θὼ τῷ γένει ὑπογραφὴ, ἥτις ἁρμόσει καὶ τοῖς δέκα. καὶ μὲν λέγεται ὡς τῇ οὐσίᾳ ἁρμόσει καὶ τοῖς συμβεβηκόσι, διαφόρως θὲ οὔσι κατὰ τὸ εἶναι. ὅπερ γὰρ ὠνὶ συμβέβηκε τῇ οὐσίᾳ, τοῦτο τὸ ὡς γένος εἰς εἴδη διαιρεῖσθαι τὰ ὑπ' αὐτὴν, τὸ αὐτὸ καὶ τοῖς ἄλλοις συμβέβηκε. διαιροῦσι γὰρ καὶ τὰ ἄλλα εἰς τὰ ὑπ' αὐτὰ εἴδη, ὡς γένη. ἄλλο τοίνυν ἐστὶ σκοπεῖν ταῦτα ὡς οὐσίαι καὶ συμβεβηκότα: καὶ ἄλλο τὰ ὡς γένη γενικώτατα. κοινὴν γὰρ ἔχουσι τοῦτο.

## ΠΕΡΙ ΓΕΝΟΥΣ.

Εἴωκε ὃ μήτε τὸ γένος, μήτε τὸ εἶδος ἁπλῶς λέγεσθαι. Εἰρηκὼς τὴν σκοπὸν, καὶ τὸ χρήσιμον, τίς τε ὁ εἰσαγωγικὸς τρόπος, ὅτι τῶν μὲν βαθυτέρων ἀπέχεσθαι μέλλει ζητημάτων, τὰ δὲ ἁπλουστέρων σοχάζεσθαι, καὶ τίνα τὰ ἁπλᾶ

σὺ τοῖς αὐθεντοῖς ζητῶμεν, ὡς καὶ ἀριστοτέλης δέλαβε περὶ αὐτῶν, καὶ θεολογικῶς δὲ, ὡς ὅταν περὶ τῆν σὺ τῷ δημιουργῷ ζητῶμεν, ὡς πρὸ ὁ πλάτων σὺ τῷ παρμενίδη διέλαβεν, εἰ δὲ λογικώτερον διαλαβὴν περὶ αὐτῆν, ἐπειδὴ σὺ τῇ λογικῇ πραγματείᾳ διόμεθα τῆν ἀποφαντικῶν λόγων. σὺ δὲ τοῖς ἀποφαντικοῖς λόγοις, τὰ μὲν ὑποκείμενα, τὰ δὲ κατηγορήματα, τὸ δὲ ὑποκείμενον καὶ κατηγορούμενον, ἢ γένος ἐστὶν, ἢ εἶδος, ἢ διαφορὰ, ἢ ἴδιον, ἢ
» συμβεβηκός. Τὸ δὲ, ὅπως περὶ αὐτῆν. αὐτὶ τοῦ περὶ τῆν γενῶν τε καὶ τῆν εἰδῶν. καὶ γὰ προσηκόντως περὶ αὐτῆν ἐποιεῖτο τὸν λόγον. προσθεὶς δὲ, καὶ τῆν προκειμένων, ἐσήμανε καὶ τὰ λοιπὰ τρία, τὴν διαφορὰν φημὶ, καὶ τὸ ἴδιον, καὶ τὸ συμβεβηκός. Ἢ τὸ αὖ πάλιν δὴ λέγειν, ὅπ ἑρμηνικῶς μᾶ, τὸ, ὅπως περὶ αὐτῆν. ἐδήλωσε τὸ γένος, καὶ τὴν διαφορὰν, καὶ τὸ εἶδος, ἑρμηνικῶς δὲ πάλιν καὶ τῆν προκειμένων, ἐδήλωσε τὰ περὶ τῆν ἄλλων δύο, τοῦ τε ἰδίου, καὶ τοῦ συμβεβηκότος.

» Καὶ τούτων μάλιστα οἱ ἐκ τοῦ περιπάτου, νῦν σοι πει-
» ράσομαι δεικνύναι.

Ὁ φιλόσοφος πορφύριος, οὐκ εἰς ἑαυτὸν ἀνάγει τὴν εὕρισιν καὶ τὴν διδασκαλίαν, ἀλλὰ φησὶν ὅτι τῆν πάλαι διαλαβόντων λογικῶς περὶ αὐτῆν, οἱ περιπατητικοὶ μάλιστα τὰ περὶ τούτων ἐξηκριβώσαντο. τὸ δὲ τῆν περιπατητικῶν ὄνομα ἐκ τοιαύτης γέγονε αἰτίας. φασὶν ὅτι ὁ θεῖος πλάτων σὺ ἀκαδημίᾳ βαδίζων ἐποιεῖτο τὰς πρὸς αὐτὸν ἑταίρους σωφρονίσας διὰ τὸ, τὸ σῶμα ὠφελήσειν ποιεῖν διὰ τῆν γυμνασίων πρὸς ἔκλαμψιν τῆς ψυχῆς. ὡς γὰ ἂν ἔχοι τὸ ὄργανον, οὕτω καὶ ἡ σύνεσις τοῦ τεχνήτου διαφαίνεται. καὶ τούτου χάριν ἐλέγοντο περιπατητικοί. μετὰ γοῦν τὴν τοῦ πλάτωνος τελευτὴν διεδέξατο τὴν διατ-

ταῦτα ἐν τοῖς πολλοῖς, τὸ ἁπλῶς ζῷον ἐν πᾶσι τοῖς καθ' ἕκαστα, καὶ ὁ ἁπλῶς ἄνθρωπος, ἢ οὐ, καὶ τίς κοινὴ οὐσία ἐν πᾶσι τοῖς καθ' ἕκαστα θεωρουμένη, ἢ οὔ, ἀλλὰ πᾶν ἔτι θεωρεῖται ἐν τοῖς καθ' ἕκαστα, ἄτομόν ἐστιν. Ἔστι δὲ καὶ λογικῶς περὶ τούτων, τουτέστιν ἀποφαντικῶς καὶ πρέποντως τῇ λογικῇ θεωρίᾳ ζητεῖν, τίνα μὲν τούτων τίσιν ὑπόκειται, τίνα δὲ τούτων τίνων κατηγορεῖται, ὅτι κατηγορεῖται τὰ γένη τῶν διαφορῶν καὶ τῶν εἰδῶν, οὐ μὴν ἔμπαλιν. ἐρήκαμεν γὰρ ὅτι πέφυκε πως ἀποσώζουσιν εἰς ἄλληλα, τὸ γένος, καὶ ἡ διαφορὰ, καὶ τὸ εἶδος. καὶ ὅτι πρωτεύει μὲν τὸ γένος, δευτέραν δὲ πέφυκεν ἔχειν τὸ εἶδος, μέσην δὲ ἡ διαφορὰ, καὶ δεῖ τὰ μὲν ἄνω τῶν ὑποκάτω κατηγορεῖσθαι, οὐ γὰρ τὰ ὑποκάτω τῶν ἐπάνω. οἷον, ἐὰν εἴπωμεν, πᾶς ἄνθρωπος ζῷον, ἀληθεύομεν: ἂν δὲ ἀντιστρέψωμεν καὶ εἴπωμεν, πᾶν ζῷον ἄνθρωπος, ψευδόμεθα. καὶ πάλιν, ἐὰν εἴπωμεν, πᾶς ἵππος ἄλογον, ἀληθεύομεν: ἐὰν δὲ ἀνασρέψαντες εἴπωμεν, πᾶν ἄλογον ἵππος, ψευδόμεθα. οὐ γὰρ ἐστὶ τὸ τυχὸν ποιῆσαι ὑποκείμενον. οὐ γάρ ἐστι τὸ ζῷον ἐπεῖν ἄνθρωπος ἐστὶν, ὡς καὶ ἤδη εἴρηται. δεῖ οὖν ἐπεῖν ποῖα χὴ ποιεῖν ὑποκείμενα, ποῖα δὲ κατηγορούμενα, ἃ καὶ διδάσκει ὁ φιλόσοφος. καὶ διὰ τοῦτο εἶπε λογικώτερον, ἀντὶ τοῦ πρεπόντως τῇ λογικῇ πραγματείᾳ.

» Τὸ δ' ὅπως δεῖ αὐτῶν τε καὶ τῶν προκειμένων, λογι-
» κώτερον οἱ παλαιοὶ διέλαβον.

Λογικώτερον μὲν λέγεται κυρίως διαλαβεῖν, τὸ, τὰς συμβεβηκότας ζητεῖν τῶν πραγμάτων: φυσικῶς δὲ, τὸ, τὰς οὐσίας ζητεῖν. Θεολογικῶς δέ ἐστι ζητεῖν, τὸ ὅθεν ἦλθεν ἅπαντα, καὶ τὴν ἀρχὴν τῆς συστάσεως ἑκάστου.

Ἐπὶ οὖν ἐστι φυσικῶς διαλαβεῖν, ὡς ἀρτίως ἐρήκαμεν περὶ ψυχῆς, καὶ ἐδῶν, καὶ τῶν λοιπῶν, ὡς ὅταν περὶ τῶν

καὶ ὁ προσαγορεύων τινὰ, ὁ προσαγορευόμενος τινὸς προσαγορεύων. ὁμοίως δὲ καὶ ὁ προστάττων καὶ ὁ προσφωνῶν τινί. μόνος δὲ ὁ ἀποφαντικὸς λόγος περιέχει τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος. οἱ γὰρ ἄλλοι οὔτε ἀληθεύουσιν, οὔτε ψεύδονται. ὁ δὲ ἀποφαντικὸς λόγος ἢ ἀληθεύει, ἢ ψεύδεται. ὅσον, ἀποφαίνεται περὶ τῆς ψυχῆς, ὅτι θνητὴ ὑπάρχει, ἢ ἀθάνατος. καὶ πάντως ἢ ἀληθεύει, ἢ ψεύδεται. ἀποφαντικὸς γὰρ λόγος ἐστὶν, ὁ ἄλλο ἄλλό τι ὡς ὑπάρχον ἢ μὴ ὑπάρχον ἀποφαινόμενος. περιέχει δὲ οὗτος ἑαυτῷ δύο τινὰ, τό τε κατηγορούμενον, καὶ τὸ ὑποκείμενον. ἵνα δὲ σαφὴς γένηται ὁ λόγος ἡμῖν, ἔπωμεν οὕτω. λέγεται ὅτι ὑποκείμενον λέγεται, τὸ περὶ οὗ ὁ λόγος. κατηγορούμενον δὲ, τὸ περὶ ἐκείνου λεγόμενον. οἷον, ἄνθρωπός ἐστιν ζῷον ἐστὶν. ὑποκεῖται μὲν ὁ ἄνθρωπος, κατηγορεῖται δὲ τὸ ζῷον. ὁμοίως δὲ καὶ περὶ ψυχῆς. ὅτι ἀθάνατός ἐστι. περὶ τίνος δὲ νῦν λαλεῖν λέγομαι; ἢ δῆλον ὅτι περὶ ψυχῆς. καὶ ὑποκεῖται μὲν ἡ ψυχὴ, κατηγορεῖται δὲ αὐτῆς τὸ ἀθάνατον. ὥς τε οὐ καλῶς εἰρηται, ὅτι ὁ ἀποφαντικός λόγος καὶ ὑποκείμενον ἔχει καὶ κατηγορούμενον.

Δυνατὸν μὲν οὖν περὶ γενῶν τε καὶ εἰδῶν καὶ θεολογικῶς μὲν διαλέγεσθαι, ὁπόταν ζητῶμεν ὅτι ἆρα ὁ θεὸς ἔχει παρ' ἑαυτῷ τὰ γενῶν τε καὶ εἰδῶν τὸ ἐκτύπωμα, ἢ οὐκ ἔχει, ἆρα ἀληθὴς ἐστὶν ἡ πλάτωνος δόξα, ὅτι ἐστὶν αἱ ἰδέαι νοηταὶ καθ' ἑαυτὰς ὑφεστῶσαι, ἃς καὶ ὄντως οὐσίας, καὶ πρώτως οὐσίας καλεῖ, ἢ οὔ, ὡς καὶ ἀριστοτέλει δοκεῖ; Φυσικῶς δὲ ὅταν ὦμεν σκοποῦμεν, ἆραγε ἡ φύσις ἐν ἑαυτῇ ἔχει τοὺς λόγους τῶν εἰδῶν τε καὶ τῶν γενῶν. ἢ οὐκ ἔχει; οὐ δὲ γε ὥσπερ ἡ χιὼν ἀλόγως ψύχει, ἢ ὡς περ καὶ τὸ πῦρ καίει, οὕτω καὶ ἡ φύσις ποιεῖ, ἀλλὰ δηλονότι λογισμῷ τινὶ πάντα εἰ καὶ μὴ γινώσκουσα ἃ ποιεῖ. ἄλλως τε καὶ οὗτος ἐστὶ περὶ αὐτῆς φυσικῶς ζητῶν. ἆρα ἐστὶ

ταῦτα

θρώπους, ὅτι πάντες τὸ αὐτὸ εἶδος τοῦ ἀνθρώπου ἔχουσιν, ὡς ὧν τοῦ ὕστερον ἐλθόντος, καὶ θεασαμένου τὰ κυρίως αὐτὰ ἐν μιᾷ ἐκείνῃ αὐτὸ τῇ διανοίᾳ. καὶ λέγεται τοῦτο ὧν τοῖς πολλοῖς, ὅταν μετὰ τὰ πολλὰ, καὶ ὑστερογενεῖς. ἐσὶ δὲ τὰ τοιαῦτα σώματος μὲν χωριστὰ, οὐ γὰρ τῷ σώματι ὑφέσηκεν, ἀλλὰ τῇ ψυχῇ, οὐ πάντως δὲ ἀχώριστα, οὐ δὲ γὰρ αὐτὰ καθ' αὑτὰ χωρίζεσθαι δυνάται, οἷα τὰ πρὸ τῆς πολλαχοῦ ὑποτίθεται ὁ πλάτων. οὐ δὲ γὰρ ἁπλῶς νοήσεις αὐτὰ εἶναι τοῦ δημιουργοῦ βούλεται, ἀλλὰ πάντως οὐσίαις τισὶ νοητοῖς, πρὸς ἃς ἀφορῶντα τὸν δημιουργὸν ὡς πρὸς ἀρχετύπους εἰκόνας τὰ τῇ δὲ ποιεῖν. τοῦτο δὲ φησὶ χωρὶς εἶναι, ὅτι ἀσώματα ὄντα, χωριστά ἐσι τῆς ὕλης, ὡς τὰ παρὰ τῷ δημιουργῷ, ἢ ἀχώριστα, ὡς τὰ ἐν τοῖς πολλοῖς, ἢ μετὰ τὰ αἰσθητὰ, τουτέσι, τὰ ὧν τοῖς πολλοῖς. ταῦτα δὲ πάντα παραιτεῖται λέγειν. Ἰέον δ' ὅτι πρὸς ταῦτα δοκεῖ σιν ἀριστοτέλης καὶ πλάτων διαφωνεῖν. ὁ μὲν γὰρ ἀριστοτέλης ἀχώριστα αὐτὰ τῆς ὕλης εἶναι φησὶν, ὁ δὲ πλάτων χωριστά. ἔτι δὲ διαφωνοῦσι πρὸς αὐτοὺς οἱ φιλόσοφοι, ἔτι μὲν, φασὶ γὰρ τούτοις ὁ ἀριστοτέλης ὧν φυσικοῖς κεχρῆσθαι, οὐ τοῦ παρόντος καιροῦ ὧν σκοπεῖν.

Τὸ δὲ πῶς πρὸς αὐτῶν. Ὑποθέσεις ἰδίως τῷ φιλοσόφῳ χρήσιμον ποιήσαι τοῦτο τὸ βιβλίον καὶ εἰς τὰς ἀριστοτέλους κατηγορίας, αἳ πυρὸς ὁδοί εἰσι καὶ προκάλιαι εἰς πᾶσαν τὴν τῶν φιλοσόφων λογικὴν θεωρίαν. Τὸ δὲ λόγου πολλαχῶς μέρη, ἀποφαντικὸν, εὐκτικὸν, κλητικὸν, προσαγορευτικὸν, πυσματικὸν. καὶ ἄλλα δ' εἴη, ἃ κατὰ λεπτὸν σκοπῶν σωμεν. ἀλλ' ἐν τῇ λογικῇ πραγματείᾳ δὲ πρὸς πάντων διαλέκτῳ, ἀλλὰ πρὸς μόνον τὸν ἀποφαντικὸν, οὗτος γάρ ἐσιν ὁ τῆς γνωσικῆς ψυχῆς ἄγγελος. οἱ γὰρ ἄλλοι τῆς ὀρεκτικῆς ψυχῆς ὑπάρχουσιν. ὁ γὰρ εὐχόμενος ὀρεγόμενός πως εὔχεται.

δὲ ἀσώματα, ἀλλὰ μετὰ λογισμοῦ τινὸς, οὐ δὲ ἐναργῶν τοῖς ἀλλήλοις, ἀκόπως γὰρ ἕκασοι λέγουσιν· ἐνοείσθω τοίνυν δακτύλιός τις ἐκτύπωμα ἔχων, ἢ τύχοι, ἀχιλλείως, καὶ κηρία πολλὰ παρακείμενα. ὁ δὲ δακτύλιος σφραγιζέτω τοὺς κηρούς πάντας. ὕστερον δέ τις ἐπελθὼν καὶ θιασάμενος τὰ κηρία, ὥστε ἰδεῖν ὅτι πάντα ἐξ ἑνός ἐστιν ἐκτυπώματος, ἐχέτω παραπλησίως τὸ ἐκτύπωμα τῇ διανοίᾳ. Ἡ τοίνυν σφραγὶς ἡ ἐν τῷ δακτυλίῳ λέγεται πρὸ τῶν πολλῶν εἶναι, ἡ δὲ ἐν τοῖς κηρίοις, ἐν τοῖς πολλοῖς. ἡ δὲ ἐν τῇ διανοίᾳ τοῦ ἀπομαξαμένου, ὡς τοῖς πολλοῖς, καὶ ὑστέρα γένεσις. Τοῦτο οὖν ἐνοείσθω καὶ ὡς τῶν γενῶν καὶ εἰδῶν. ὁ γὰρ δημιουργὸς ποιῶν πάντα, ἔχει παρ' ἑαυτῷ τὰ πάντων παραδείγματα, οἷον, ποιῶν ἄνθρωπον, ἔχει τὸ εἶδος παρ' ἑαυτῷ τοῦ ἀνθρώπου, πρὸς ὃ ἀφορῶν πάντας ποιεῖ. εἰδέναι δὲ ἐν ψυχῇ λέγω, ὡς οὐκ ἐστὶ παρὰ τῷ δημιουργῷ τὰ εἴδη, ἀκούετω ταῦτα, ὡς ὁ δημιουργὸς δημιουργεῖ, ἢ εἰδὼς τὰ ὑπ' αὐτοῦ δημιουργούμενα, ἢ οὐκ εἰδώς. ἀλλ' εἰ μὲν μὴ εἰδώς, οὐκ ἂν δημιουργήσει, τίς γὰρ μέλλων ποιήσειν τί, ἀγνοεῖ ὃ μέλλει ποιεῖν, οὐ γὰρ ὡς ἡ φύσις ἀλόγῳ δυνάμει ποιεῖ· ὅθεν καὶ ποιεῖ ἡ φύσις, οὐκ ἐφιστάνουσα γνῶσιν τῷ γινομένῳ. εἰδὲ καθ' ἕξιν λογικῶς ποιεῖ, οἷ δέ που πάντως τὸ γινόμενον ὑπ' αὐτοῦ. εἰ τοίνυν μὴ χεῖρον ἢ κατὰ ἄνθρωπον ὁ θεὸς ποιεῖ, οἷ δὲ τὸν ὑπ' αὐτοῦ γινόμενον. εἰ δὲ εἰδὼς ὁ ποιεῖ, αὐτόθεν δῆλον, ὡς ἔστιν ἐν τῷ δημιουργῷ, τὰ εἴδη. ἔστι δὲ τὸ εἶδος ἐν τῷ δημιουργῷ ὡς ὁ ἐν τῷ δακτυλίῳ τύπος. καὶ λέγεται τοῦτο τὸ εἶδος πρὸ τῶν πολλῶν, καὶ χωριστὸν τῆς ὕλης. Ἔστι δὲ τὸ εἶδος τοῦ ἀνθρώπου καὶ ἐν τοῖς καθ' ἕκαστον ἀνθρώποις, ὡς τὰ ἐν τοῖς κηροῖς ἐκτυπώματα. καὶ λέγεται τὰ τοιαῦτα ἐν τοῖς πολλοῖς εἶναι, καὶ ἀχωρίστα τῆς ὕλης. Θεασάμενοι δὲ τοὺς κατὰ μέρος ἀν-

Digitized by Google

πον μὲν ὁρῶ, ἱππότητα δὲ οὐχ ὁρῶ: καὶ πάλιν, ἄνθρωπον μὲν ὁρῶ, ἀνθρωπότητα δὲ οὐχ ὁρῶ. ταῦτα ἐκεῖνος ἔλεγε τῇ αὐδήσει μόνῃ χρώμενος, καὶ μὴ δυνάμενος τῷ λόγῳ εἰς μείζονα διαίρεσιν ἑαυτὸν ἀσκεῖν. Τῶν οὖν ὑφεστώτων τὰ μὲν, σώματά ἐστι: τὰ δὲ, ἀσώματα. ὅλως δὲ τῶν παλαιῶν οἱ μὲν, ἔλεγον εἶναι ταῦτα: οἱ δὲ οὐκ ἦσαν. τῶν δὲ λεγόντων εἶναι, οἱ μὲν ἔλεγον εἶναι σώματα: οἱ δὲ ἀσώματα. Καὶ οἱ μὲν λέγοντες σώματα εἶναι, πάντες ὡσὰν τὴν αὐτὴν δόξαν ἔμενον. Τῶν δὲ λεγόντων εἶναι ἀσώματα, ἐπειδὴ τὰ ἀσωμάτων ὡς ἥδη διήρηται, τὰ μὲν καθ' ἑαυτὰ ὑφεστῶτα, ὡς ἄγγελος, θεὸς: τὰ δὲ ἐν ἑτέροις, ὡς ἡ λευκότης, καὶ τὰ σχήματα: ταῦτα οὖν οἱ μὲν καθ' ἑαυτὰ, οἱ δὲ ἐν τοῖς αὐδητοῖς ὑφεστάναι ἔλεγον. Πάλιν δὲ ἐπεὶ δὴ τὰ ἐν τοῖς αὐδητοῖς ὑφεστῶτα ἀσώματα, ἤ δίολου ἐστὶν, ὡς ἡ ἐν τῷ ψιμμυθίῳ λευκότης, ἢ κατὰ τὴν ὠοφάνειαν ἐστὶν, ὡς τὸ σφαιροειδὲς σχῆμα: οἱ μὲν αὐτὰ δίολου ἔλεγον εἶναι: οἱ δὲ κατὰ τὴν ὠοφάνειαν. Ἕτεροι δὲ πάλιν πρὸς τὰ αὐδητὰ ἔλεγον αὐτὰ ὑφεστάναι. τί δέ ἐστι πρὸς ταῦτα ὑφεστῶτα, οἷον, ὡς ὅ, τε τόπος, οὗτος πρός ἐστι τὰ αὐδητὰ, καὶ ὁ χρόνος. Τοσούτων οὖν ὄντων αἱρέσεων πρὸς τοῦ εἶναι ταῦτα καὶ μὴ εἶναι, δυνατὸν ἰδεῖν ζητοῦντα πρός τινα καὶ σκοπῶν, εἴτε ἐστὶν, εἴτε ἐν ψιλῇ ὑπονοίᾳ κεῖνται, οὕτω γὰρ ὁ ἀποδέκτης ὠφέλητο. Καὶ δύρων δὲ αὐτὰ ὑφεστῶτα, δυνατὸν ἦν πάλιν ζητεῖν, εἴτε ἀσώματά ἐστιν, εἴτε σώματα, μεμάθηκε γὰρ ἕκατέρου τῆς διαιρέσεως τμήματος χρῆσθαι. Πάλιν δὲ δύρων αὐτὰ, ἢ τύχῃ, ἀσώματα, ζητεῖν δυνατὸν, εἰ ἀχώριστά ἐστι τῆς ὕλης καὶ ἐν τοῖς πολλοῖς, ἢ τούτων κεχώρισται. Ἵνα δὲ σαφὲς ᾖ τὸ λεγόμενον, διὰ ὑποδήματος διεξέλθωμεν τῷ λόγῳ. οὐ δὲ γὰρ ἁπλῶς οὕτω καὶ ὡς ἔτυχεν, οἱ μὲν σώματα αὐτὰ λέγουσιν, οὐ

παραδίδωσιν. Ἀντίκα πρὸς γενῶν τε καὶ εἰδῶν, τὸ μὲν
ἔστι ὑφεστηκὸς, ἔστι καὶ σὺν μόναις ψιλαῖς ὑπονοίαις κεῖται·
ἔστι καὶ ὑφεστηκότα, σώματά ἐστιν, ἢ ἀσώματα, καὶ πότε-
ρον χωριστὰ, ἢ σὺν τοῖς αἰσθητοῖς, καὶ περὶ ταῦτα ὑφεστῶτα,
παραυτίκα μάλα ἐρῶ, βαθυτάτης οὔσης τῆς τοιαύτης
πραγματείας, καὶ ἄλλης μείζονος δεομένης ἐξετάσεως.

Τί πέφυκεν ὁ πορφύριος σωφρονίσαι τῶν διδα-
σκαλίαν, καὶ τῶν λέξιν σαφῆ, καὶ τῶν βαθυτέρων ἀπέχε-
σθαι ζητημάτων. ἵνα θαῤῥῶ μήτε εἰπὴν, ὅτι οὐκ ἰῶ βαθύτερον
ζήτημα περὶ τούτων, αὐτὸ τοῦτο βούλεται παρασκῆσαι ὁ
φιλόσοφος ἡμῖν διὰ τούτων. ὅτι ἰῶ μὲν σοῦ βαθύτερον ζή-
τημα περὶ τούτων, ἐξεπίτηδες δὲ παρέλιπεν, ἵνα δὲ σα-
φὲς γένηται τὸ λεγόμενον, εἰπωμεν οὕτως. Τῶν ὄντων
τὰ μὲν ὑφεστηκε, τὰ δὲ, ἐν ψιλῇ ὑπονοίᾳ ὑπάρχει. Πά-
λιν τῶν ὑφεστηκότων τὰ μέν ἐστι σώματα, τὰ δὲ, ἀσώμα-
τα. Καὶ πάλιν τῶν ἀσωμάτων, τὰ μὲν, χωριστὰ, ὡς ἡ
λογικὴ ψυχὴ, καὶ ὁ ἄγγελος, τὰ δὲ, σώματος ἀχώριστα,
ὡς ἀθυμότης, μελαγχολία, καὶ ὡς ἄλογοι ψυχαί. Τῶν δὲ καθ'
αὐτὰ, τὰ μὲν, πρὸ τῶν πολλῶν, τὰ δὲ, ὑστερογενῆ καὶ ἐν τῇ
ψυχῇ τῇ ἡμετέρᾳ. Ἀλλως τε τῶν ὄντων τὰ μὲν, ὑφέστη-
κε· τὰ δὲ, ἐν ψιλῇ ὑπονοίᾳ λέγεται εἶναι, ἅ που ὑπονοοῦμεν
μὲν, ὑφίστανται, μὴ ὑπονοούμενα δὲ, οὐχ ὑφίστανται, ἀλλὰ
παυσαμένης τῆς ὑπονοίας, καὶ αὐτὰ συμπαύεται, οἷον, ἵππο
κένταυρος, οὐ γάρ ἐστιν ἐν ὑποστάσει, ἀλλὰ θεασάμενοι ἵπ-
που καὶ κένταυρον, ἀνεπλάσαμεν τῇ διανοίᾳ σώθετόν τι
τούτων τὸν ἱπποκένταυρον. ὁμοίως καὶ τράγον μὲν ἐποίη-
σεν ἡ φύσις, καὶ ἔλαφον· ἀναπλάσαντες δὲ καθ' ἑαυτοὺς
τῇ διανοίᾳ, ἀνεπλάσαμέν τι σώθετον τραγέλαφον. καὶ
ταύτῃ τὸ εἶναι ἔχει. Οὕτοιγε ἀνεπιθέντος ἔλεγε τὸ γέ-
νη καὶ τὸ εἴδη ἐν ψιλαῖς ὑπονοίαις εἶναι, λέγων ὅτι ἵπ-

Digitized by Google

» χίσιν μόνον ὡς προείρηται διαλαμβάνουσα. Χρησίμης οὖ-
σης τῆς τούτων θεωρίας. αὐτὴ τοῦ τῆς τούτων γνώσεως.
θεωρίαν γὰρ καλοῦσιν οἱ φιλόσοφοι τὴν γνῶσιν.

» Σωτομόν σοι παράδοσιν ποιούμενον, πειράσομαι διὰ
» βραχέων, ὥσπερ ἐν εἰσαγωγῆς τρόπῳ, τὰ παρὰ τοῖς
» πρεσβυτέροις ἐπελθεῖν. Ἐπειδὴ καὶ ἄλλη σώτομος πα-
ράδοσις ἐστὶν ὑπομνήσεως χάριν κεφαλαιώδης, ἡ σφόδρα
ἐστὶ σώτομος, καὶ πάνυ διὰ βραχέων γινομένη, διὰ τοῦτο
ἄπτε σώτομον, ὡς ἐν εἰσαγωγῆς τρόπῳ.

» Τῶν μὲν βαθυτέρων ἀπεχόμενος ζητημάτων.

Τρία εἰσὶ τὰ ἀκυρωτέρους ποιοῦντα τοὺς νέους πρὸς τὸ
ἐν τυγχάνειν τοῖς τῶν παλαιῶν συγγράμμασι, τὸ μῆκος
τῶν λεγομένων, τὸ ἀσαφὲς τῆς λέξεως, ὡς τὸ πολυσύμ-
νημα, καὶ τὸ βάθος τῶν νοημάτων, προτρεπόμενος οὖν ὁ
πορφύριος τὸν ἀκροατὴν, ἐπαγγέλλεται τὸ βιβλίον τού-
των ἀπηλλάχθαι, καὶ μήτε πολύστιχον εἶναι, μήτε ἀσάφειαν
ἔχειν πρὸς τὴν λέξιν, ὡς δηλοῖ τὸ, ἐν εἰσαγωγῆς τρό-
πῳ. μήτε ζητήματα βαθύτερα. ἀλλὰ διὰ τὸ εἰπεῖν, τῶν
μὲν βαθυτέρων ἀπεχόμενος ζητημάτων, ἐδήλωσεν οὖν
τὸ ἀπηλλάχθαι τοῦ βάθους τῶν νοημάτων, διὰ δὲ τοῦ εἰ-
πεῖν, τῶν δὲ ἁπλουστέρων, ἐδήλωσεν αὐτὸ ἀπηλλάχθαι τῆς
δυσκολίας τὴν λέξεως, διὰ δὲ τοῦ εἰπεῖν, συμμέτρως σε
χαλόμενος, ἐδήλωσεν αὐτὸ ἀπηλλάχθαι τοῦ μήκους τῶν
πολλῶν στίχων.

» Τῶν δὲ ἁπλουστέρων συμμέτρως σοχαλόμενος.

Τοῦτο οὐ πρὸς τὰ πράγματα εἶπεν, οὐ γὰρ ἦν φιλο-
σόφου τὸ σοχάζεσθαι, ἀλλ' ὡσημόνως πάντα δεικνύειν.
ἀλλὰ πρὸς τὸν ἀκροατὴν χρησάμενος, τουτέστι σοχαζό-
μενος τῇ σῇ διανοίᾳ. ὃ γὰρ αὐ προτίθεται διδά-
σκειν ὁ φιλόσοφος, οὐ σοχαστικῶς, ἀλλ' ὡσημονικῶς

ἢ ἀνάλυτική, τῇ ἀποδεικτικῇ ἀρχὰ σύστοιχα ἢ ἀνάλυτική. Καὶ διὰ τί ὁρισικῆς πρῶτον ἐμνημόνευσε, καὶ οὐ τῆς διαιρετικῆς, καὶ ταύτα πρώτης ὑπαρχούσης. Ἐπειδὴ πρὸ κειμένου ἦν αὐτῷ τῶν προτεθέντων ὁρισμούς ἀποδοῦναι. Διαφέρει δὲ ἡ σύνθεσις τῆς ἀναλύσεως, κατὰ μὲν τὸ ὑποκείμενον, οὐδέν· ὥσπερ γὰρ τὸ ἀναγκαῖς πάντως ἐστὶ καὶ κατάγκαις, οὕτως ἡ ἀνάλυσις πάντως ἐστὶ καὶ σύνθεσις, κατὰ δὲ τὴν ἀξίωσιν, διαφέρει· ὅταν μὲν γὰρ ἀνάγωσι καὶ ἐκ τῶν πρώτων ἀρχῶν πρόσωσιν ἐπὶ τὰ ἔσχατα, σύνθεσις ἐστιν· ὅταν δὲ ἐκ τῶν ἐσχάτων ἐπὶ τὰς πρώτας ἀρχὰς ἀναβαίνῃ, ἀνάλυσις· καὶ ὅτι μὲν ἡ σύνθεσις, πρὸς τὸ συνθετὸν τελευτᾷ, ἡ δὲ ἀνάλυσις, πρὸς τὸ ἁπλοῦν· ὁ γὰρ ἀναλύων, συνθετόν τι ἀναλύει, εἰ γε μὴ μέλλοι παλαιπωρεῖν καὶ ἀδυνάτως μοχθεῖν, ἁπλοῦν ἀναλύσαι ἀδύνατον. τὸ δὲ συνθετὸν ἐκ πλειόνων ἁπλῶν σύγκειται. οὐκοῦν ὁ ἀναλύων εἰς πλείονα ἀναλύει, ψεῦδος ἐπὶ ἄρα τὸ, τὸν ἀναλύοντα εἰς τὸ ἁπλοῦν ἀναλύειν τὸ συνθετόν. τοῦτο μὲν ἐγγὺς ἐπὶ ἀληθείας· πλὴν ἔστιν εἰπεῖν, ὅτι εἰς πρόσιχὴ μὲν πλείονα ἀναλύει, τὸ δὲ ἔσχατον, εἰς τὸ· δεῖ οὖν εἰδέναι ὡς σαφῶς εἰπεῖν, ὅτι τὸ ἁπλοῦν μὲν, εἰς σολλὰ σωτίθεται, εἰς οὐδὲν δὲ ἀνάλυται, τὸ δὲ ἔσχατον σωτίθεσι, ἀνάλυται μὲν εἰς πρόσιχὴ πλείονα, εἰς τὸ ἀγνώστατον δὲ ἐν σωτίθεται οὐκέτι. Ἀπορουσι δέ τινες, διὰ τί τὸν ὁρισμὸν ὕστερον ὄντα, τῆς διαιρέσεως πρόταξε, καὶ φαμὲν, ὅτι πρῶτον μὲν ὡς ἐν ὑποκειμένῳ ἀδιαφόρων ἐστὶ τὸ ὁπωσοῦν σωτάξαι, ἔπειτα δὲ, καὶ ὡς πρὸς ἡμᾶς πρῶτον ἐστὶ τὰ σύνθετα τὰ διὰ τοῦ ὁρισμοῦ γνωριζόμενα· ὥστε εἰ μὴ εἰκῇ σωέτακται, εἰκότως τὸν ὁρισμὸν προέταξε. Τὴν δὲ ἀνάλυσιν διὰ τοῦτο παρέλιπε εἰπεῖν, ὅτι ταυτόν ἐστι τῇ συνθέσει τῷ ὑποκειμένῳ, κατὰ τὴν

ρα στοιχεῖα; καὶ ταῦτα ἐν ὕλῃ καὶ εἴδει. χρώμεθα δὲ τῇ ἀναλυτικῇ καὶ τῷ συλλογισμῷ ἀναλύοντες αὐτοὺς εἰς προτάσεις, καὶ ταύτας εἰς ὅρους, ὡς σὺ τοῖς ἀναλυτικοῖς διδάσκει. πρώτη μὲν οὖν πασῶν ἡ διαιρετική· δευτέρα δὲ ἡ ὁριστική· τρίτη δὲ ἡ ἀποδεικτική· καὶ τετάρτη ἡ ἀναλυτική. Τῶν δὲ τριῶν μόνον ἐμνημόνευσε, διότι τὸ βιβλίον εἰς ταῦτα ἐστὶ χρήσιμον. διδάσκει γὰρ πρὸς γενῶν καὶ διαφορῶν. Ὁ μὲν γὰρ διαιρετικὸς διαιρεῖ διὰ τάκτως τὰ γένη εἰς εἴδη, διὰ τὴν οἰκείων διαφορῶν. Ὁ δὲ ὁριστικὸς ὁρίζεται ἐκ γένους καὶ διαφορᾶς. Ὁ δὲ ἀποδεικτικὸς τὰς ἀποδείξεις ποιεῖται ἐκ τῶν ὁρισμῶν. οἱ δὲ ὁρισμοὶ ὡς ἔφημεν, ἐκ γένους καὶ διαφορῶν. Ἄλλως τε, διὰ τὸ τὰς τρεῖς ἀλλήλων δεῖσθαι. τῆς μὲν γὰρ διαιρετικῆς χρῄζει ἡ ὁριστική· ἡ δὲ ἀποδεικτικὴ ἀμφοτέρων, αὐτὸ ὁ ἀποδεικνύων οὐ ὁρισμοὺς τὴν πραγμάτων λαμβάνει, διὰ τὸ γνῶναι τὴν οὐσίαν τοῦ πράγματος, ἡ δὲ ὁριστικὴ χρῄζει τῆς διαιρετικῆς. ἡ δὲ ἀναλυτικὴ οὐδεμιᾶς χρῄζει· τῇ μὲν γὰρ διαιρετικῇ σύμπτωσις, καθὸ ἐκείνην μὲν οὐ λαμβάνουσα πολλὰ ποιεῖ· ἡ δὲ ἀναλυτικὴ εἰς οὐ πλείους. λαμβάνουσα γὰρ καὶ ἀναλύουσα, ἀναλύει τὸν ἄνθρωπον εἰς μόρια, καὶ ταῦτα εἰς χυμούς, καὶ οὗ χυμοὺς εἰς στοιχεῖα, καὶ ταῦτα εἰς ὕλην καὶ εἶδος. τὰ γὰρ στοιχεῖα ἐξ ὕλης καὶ οἵου σύγκειται. ἄλλως τε, ὅτι ὁ μὲν διαιρετικὸς προέρχεται ἀπὸ τῶν ἁπλῶν ὡς τὰ σώματα. ὁ δὲ ἀναλυτικὸς, ἀπὸ τῶν συνθέτων ὡς τὰ ἄπλουστερα. τῷ δὲ ὁριστικῷ σύμπτωσις, καθὸ οὗτος μὲν σωματικὸς ἐστὶ τῆς οὐσίας· ἐκεῖνος δὲ ἀναλυτικὸς. ἄλλως τε, ἐν τῷ διαιρετικῷ σύμπτωσις, οὗ τινος χάριν ὁ ὁριστικὸς οὐ δῶσαι ὁρίσασθαι· δῆλον ὅτι καὶ τῷ ὁριστικῷ. ἀλλὰ δὴ καὶ τῷ ἀποδεικτικῷ· εἰ γὰρ ἡ ἀπόδειξις χρῄζει τῆς ὁριστικῆς καὶ διαιρετικῆς, καὶ ταύτας δὲ ἐναντίωσις

σιχῆς δὲ ὄρον ἐστὶ, τὸ τοῦ ὁρισμοὺς οἰκείως ἑκάστῳ τῶν πραγμάτων ἀποδιδόναι· οὗτος δ' ἔοικε τῷ διαιρετικῷ, πρῶτος ὤν, ἐπειδὴ καὶ χρήζει αὐτοῦ· οἱ γὰρ ὁρισμοὶ ἐκ γένους εἰσὶ καὶ συστατικῶν διαφορῶν· ἐκ τοῦ οὖν διαιρεθέντος ἤδη γένους ὁ ὁρισικὸς ἐκλέγεται τὰ χρήσιμα πρὸς τὸν ὁρισμόν· οἷον, διαιρεθέντος τοῦ ἔμψυχον, ὡς τὸ ζῷον καὶ φυτὸν, καὶ τοῦ ζῴου εἰς λογικὸν καὶ ἄλογον, εἰς θνητὸν καὶ ἀθάνατον, ὁ ὁρισικὸς βουλόμενος τὸν ἄνθρωπον ὁρίσασθαι, ἐκλέγεται τὸ ζῷον, καὶ τὸ λογικὸν, καὶ τὸ θνητόν. Ἀποδεικτικῆς δὲ ὄρον, τὸ τὴν ἀπόδειξιν τῶν πραγμάτων ποιεῖσθαι ἐξ αὐτῆς τῆς ἰδίας αὐτῶν οὐσίας· οὐ γὰρ ὥσπερ οἱ ῥήτορες ἐξ ἐνδόξου καὶ πιθανῶν προσώπων τὰς πίστεις φέρουσι, τοιοῦτόν τοι χρῆμά ἐστιν ἡ ἀπόδειξις, ἀλλ' ὥσπερ ὁ πλάτων τὸν περὶ ἀθανασίας τῆς ψυχῆς λόγον ἀποδεῖξαι βουλόμενος, τῷ λόγῳ τῆς οὐσίας αὐτῆς ἐχρήσατο, λέγων ὅτι ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, τὸ ἀεικίνητον ἀθανάτον, ἡ ψυχὴ ἄρα ἀθάνατος· οὕτω δεῖ καὶ τὸν ἀποδεῖξαι βουλόμενον ποιεῖν· αἱ γὰρ οὕτως ἀποδείξεις ἐκ τῶν ὁρισμῶν γίνονται· οἱ γὰρ ὁρισμοὶ δηλοῦσι τὴν φύσιν τοῦ πράγματος· καὶ δεῖ τὰς ἀποδείξεις γίνεσθαι ἐκ τῆς φύσεως αὐτῆς τῶν πραγμάτων, καὶ οὐκ ἐκ τῶν ἔξωθεν παρειλημμένων οὐκ ἀναγκαίως· ὡς τε τρίτην τάξιν ἔχειν ἡ ἀπόδειξις, ἥτις τῷ ὁρισικῷ κέχρηται· ὁ δὲ ὁρισικός, τῷ διαιρετικῷ· Ἀναλυτικῆς δὲ ὄρον ἐστὶ, τὸ τὰ συνθέτα ἀναλύειν εἰς τὰ ἁπλᾶ, ἐξ ὧν σύγκειται· οἷον, τὸ λόγον, εἰς ὀνόματα, καὶ ῥήματα, καὶ ταῦτα εἰς τὰς συλλαβὰς, καὶ ταύτας εἰς τὰ στοιχεῖα· καὶ ταῦτα μέν, οἱ γραμματικοί· οἱ δὲ φυσικοὶ φιλόσοφοι, τῶν μὲν πραγμάτων, οἷον, τὸν ἄνθρωπον, εἰς κεφαλὴν, καὶ χεῖρας, καὶ πόδας· καὶ ταῦτα εἰς ὀστᾶ, καὶ σάρκας, καὶ νεῦρα· καὶ τὰ τοιαῦτα εἰς τέσσα-

νος, τὸ δὲ, διαφορὰν, τὸ δὲ, εἶδος· ὡς τε τὸ αὐτὸ, ἄλλως μὲν θεωρούμενον, λέγεται γένος, ἢ εἶδος, ἢ διαφορὰ, καθ' ἃ διαφέρουσι τὰ κατὰ τὰς κατηγορίας· ἄλλως δὲ, τὸ μὲν τοι οὐσία, τὸ δὲ, συμβεβηκός.

» Εἴς τε τὴν τῶν ὁρισμῶν ἀπόδοσιν, καὶ ὅλως εἰς τὸ
» πρὸς διαιρέσεως, καὶ ἀποδείξεως, χρησίμως οὔσης τῆς
» τούτων θεωρίας.

Χρὴ δὲ δεῖναι πρῶτον, ὅτι ἄλλη ἐστὶν ἡ κατὰ ἀριστοτέλη διαλεκτική, καὶ ἑτέρα ἡ κατὰ πλάτωνα. ἡ μὲν γὰρ κατὰ ἀριστοτέλη διαλεκτικὴ δόξαις ἕπεται πιθανοῖς· ἡ δὲ κατὰ πλάτωνα, πρὸς ἀληθῆ γίνεται, κατὰ διαίρεσιν, καὶ ὁρισμὸν, καὶ ἀπόδειξιν, καὶ ἀνάλυσιν. τὸ οὖν χρήσιμον εἰς τε τὴν τῶν ὁρισμῶν ἀπόδοσιν, καὶ εἰς τὸ πρὸς διαιρέσεως, καὶ ἀποδείξεως, χρήσιμον ἔσται δηλονότι καὶ εἰς τὴν κατὰ πλάτωνα διαλεκτικήν. ἐν ᾗ τὸ τε, δηλονότι καὶ πρὸς πᾶσαν φιλοσοφίαν. ὡσὶ δὲ ὡς εἴρηται, διαιρετικὴ, ὁριστικὴ, ἀποδεικτικὴ, καὶ ἀναλυτική· οὕτως οὖν ἐκληπτέον τὰ νῦν τοῦ χωρίου, ὡσανεὶ ἔλεγεν ὁ πορφύριος, ὅτι τοῦτο τὸ συγγράμμα ἡμῶν εἰς τὰ τῆς φιλοσόφων συμβαλλεῖ συγγράμματα, ἀλλ' ἢ καὶ μὴ ἐν τοῖς συγγράμμασι, εἰς αὐτὰς τὰς τῆς φιλοσόφων μεθόδους συμβαλλεῖται, δι' ὧν δυνατὸν εὑρεῖν οἱ φιλόσοφοι ἑκάστου τῶν πραγμάτων. τί δὲ ἑκάστου τούτων ὄφελος, κατὰ τάξιν ἐπιθήσομεν. Διαιρετικῆς μὲν γὰρ ὄφελος ἐστὶ, τὸ διαιρεῖν τὸ πρότερον γένος οὕτως εἰς τὰς οἰκείας διαφοράς· οἷον τὸ ζῷον, εἰς λογικὸν καὶ ἄλογον, εἰς θνητὸν καὶ ἀθάνατον, καὶ μὴ λέγειν ὅτι τοῦ ζῴου, τὸ μὲν ἐστὶν ἄνθρωπος, τὸ δὲ, ἵππος, τὸ δὲ, ἄλλό τι, καὶ ἄλλο· ἐοίκασι γὰρ οὗτοι ὡς ὁ θεῖος φησὶ πλάτων, τοῖς κακῶς τιμωμένοις μαγείροις, καὶ μὴ κατ' ἄρθρα τὰ ὄψα, τουτέστιν ἰδιώταις καὶ ἀμεθόδοις ἀναλύσιν. Ὁρι-

ταῦτα δὲ χωρὶς καλοῦμεν, ἐπειδὴ κατ' ἐπίνοιαν χωρίζόμενα, οὐδὲν λυμαίνεται τῇ οὐσίᾳ τοῦ ἀνθρώπου· ἐπειδὴ εἰ τοῦτο ἦν, ἐδήπου μέλανας μὴ εἶναι ἀνθρώπους, ὅπερ ἄτοπον· κἂν γελᾶν δὲ τὴν δύναμιν ἀποβάλλομεν, οὐδὲν ἧττον ἐσμὲν ἄνθρωποι, πάσας τὰς τῶν ἀνθρώπων ἐνεργείας ἐνεργοῦντες· Τούτων οὖν οὕτως ἐχόντων, ὅρα πῶς ὁ Πορφύριος κατὰ τάξιν προῆλθε· πρώτας μὲν γὰρ τὰς οὐσιώδη καὶ συμπληρωματικὰς τῆς οὐσίας, ὑστέρου δὲ ἔταξε τὰς ἐπουσιώδη· καὶ πάλιν τῶν οὐσιωδῶν, πρώτας μὲν τὸ γένος ὡς καθολικώτερον, εἶτα τὴν διαφοράν, ὡς τούτου μερικώτερον, εἶτα τὸ εἶδος, ὡς τούτου μερικώτερον· τῶν δὲ ἐπουσιωδῶν, ἐπειδὴ τὸ μὲν ἴδιον πλησιέστερόν ἐστι τῆς οὐσίας, πρώτας ἔταξεν αὐτό, ὡς καὶ μᾶλλον συγγενέστερον τοῖς ἀριθμοῦσι, τὸ δὲ συμβεβηκὸς, τῆς ἐσχάτης τετύχηκε τάξεως, ὡς μὴ κοινωνοῦν τοῖς ἀριθμουμένοις, καὶ ὡς αὐτὸ μόνον γινόμενόν τε καὶ ἀπογινόμενον χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς· Ζητῆσαι δὲ ἄξιον, πῶς αὐτιδιαιρεῖται τῷ γένει καὶ τῷ εἴδει τὸ συμβεβηκὸς, καί τοι καὶ αὐτὸ εἰς εἴδη καὶ γένη τεμνόμενον; λέγω τοίνυν ὡς ἄλλο τί ἐστι σκοπεῖν ἕκαστον καθ' ἑαυτὸ ἔχειν τὸ εἶναι, καὶ ἄλλο ὡς ἁπλῶς πρός ἕτερον σχέσιν· ἡνίκα μὲν γὰρ αὐτὸ καθ' αὑτὸ ἕκαστον ὅ, τί ποτέ ἐστι, σκοποῦμεν, φαμὲν τὸ μέν τοι εἶναι οὐσίαν, τὸ δὲ, ποσόν, τὸ δὲ ποιόν, καὶ τὰ λοιπά· ὅταν δὲ ἀποδώμεν εἰς τὰς μετὰ τὴν οὐσίαν κατηγορίας, ὡς οὐκ ὑφεστηκὸς καθ' ἑαυτὰς, ἀλλὰ δυνάμενον ἐκείνης πρὸς ὕπαρξιν, συμβεβηκέναι αὐτὰς τῇ οὐσίᾳ φαμέν· Πάλιν ἐν ἑκάστῃ τῶν κατηγοριῶν, ὅταν ἀποβλέψαντες ἴδωμεν, τὸ μέν τοι καθολικώτερον, τὸ δὲ, εἰδικώτερον, τὸ δὲ, ᾧ τὰ εἰδικώτερα τέμνεται ἀπὸ τῶν γενικωτέρων, τούτων τὸ μέν τοι, καλοῦμεν γέ-

χωρὶς λόγου καὶ κρίσεως, ὅιον, ἵππος, καὶ βοῦς, καὶ τὰ ἄλλα ἄλογα ζῶα· ὡς τε αὕτη μερικωτέρα μέν ἐστι τῆ γενῶν, καθολικωτέρα δὲ τῶν εἰδῶν, ὅιον, τὸ λογικὸν, καὶ τὸ θνητόν· τὸ γὰρ λογικὸν μερικώτερον τοῦ ζώου: περιέχει γὰρ τὸ ζῶον, τοῦτο τὸ λογικὸν οὐ μόνον, καὶ τὸ ἄλογον: καθολικώτερον δὲ τοῦ εἴδους, πορίεχει γὰρ πολλὰ εἴδη τὸ λογικὸν, ἄγγελον γὰρ καὶ ἄνθρωπον· ἄλλως τε δὲ, μερικωτέρα ἐστὶ τοῦ γένους ἡ διαφορὰ, καθὸ ὑπὸ τὸ γένος πέπτωκε: καθολικωτέρα ὁ τοῦ εἴδους, καθὸ αὕτη δύο πτώσεις ἐστὶ ποιεκτικὴ, τοῦ λογικοῦ τε καὶ τοῦ ἀλόγου, ὑφ' ἃ πάντα τὰ ζῶα πέπτωκε· τὸ δὲ εἶδος ἑνὸς μόνου ἐστὶ ποριεκτικὸν, ὅιον, ἀνθρώπου, ἢ ἵππου, ἢ ἄλλου τινός. Τὸ δὲ ἴδιον, ἐνί μὲν εἴδει μόνῳ ὑπάρχει, καὶ παντὶ καὶ ἀεὶ· ὅιον, τοῦ ἀνθρώπου ἴδιον λέγεται, τὸ γελαστικόν· αὐτῷ γὰρ μόνῳ ὑπάρχει, καὶ παντὶ, καὶ ἀεί. Συμβεβηκὸς δέ ἐστι, τὸ δυνάμενον δίχα τινὸς βλάβης ἀπογίνεσθαι τοῦ ἐν ᾧ ἐστιν, ὅιον, λευκὸν, μέλαν, καθῆσθαι, ἑστάναι. Τούτων οὖν τὰ μὲν, συμπληρωτικὰ ἐστι τῆς οὐσίας τῶν πραγμάτων, τὰ δὲ, ἐπέσακτα· καὶ συμπληρωτικὰ μὲν ἐστι τῆς οὐσίας, τὸ γένος, καὶ τὸ εἶδος, καὶ ἡ μέση τούτων διαφορά. ἄτινα οὐσιώδη καλεῖται· ταῦτα γὰρ συμπληρωτικὰ εἰσὶ παντὸς ζώου· ἕκαστον γὰρ τούτων τῶν τριῶν μετέχει· ὅιον, σωκράτης: καθὸ μὲν γὰρ ζῶον, ἔχει τὸ γένος, καθὸ δὲ λογικὸν θνητὸν, τὴν διαφοράν, καθὸ δὲ ἄνθρωπος, τὸ εἶδος· ὁμοίως δὲ καὶ πλάτων, καὶ ἀλκιβιάδης. τὰ δὲ ἄλλα δύο, ἐπουσιώδη καλεῖται, καὶ ἐπέσακτα, τό, τε ἴδιον λέγω, καὶ τὸ συμβεβηκὸς, διότι οὐδὲν εἰς τὸν τῆς οὐσίας τοῦ ὑποκειμένου συμβάλλεται λόγον. ὧν τὸ μὲν ἴδιον πλησιέστερον ὑπάρχει τῇ οὐσίᾳ, διότι ἀεὶ ὑπάρχει τινί, τὸ δὲ συμβεβηκὸς πόρρω ὑπάρχει, ἐπειδὴ ποτὲ μὲν ὑπάρχει, ποτὲ δὲ οὐχ ὑπάρχει.

τα ἐστί, γένος, διαφορὰ, εἶδος, ἴδιον, καὶ συμβεβηκός.
Ἄξιον δὲ ζητῆσαι ἐνταῦθα τί δήποτε οὕτω κατὰ τάξιν ἔβηκε τὰς φωνὰς ὁ πορφύριος, οὐ γὰρ ἀνάγκη ἦν τοῦτο μάτην ποιῆσαι. ἀλλ' ἐβουλόμεθα τοῦτο γνῶναι, μικρὸν ἄνωθεν ἀρξώμενοι. Εἰδέναι δὲ ὅτι ἔστι πνὰ ἐν τοῖς πράγμασι καὶ καθόλου καὶ μερικά. ἐπειδὴ γὰρ ἔμελλον τὰ μερικὰ φθείρεσθαι, καὶ ὅσον ἀπολύεσθαι, ἐποίησεν ἡ φύσις γενικώτερόν τι τούτων προλαμβάνον πάντα καὶ διασῶζον τῷ ἑκάστου μορφῷ. καὶ τοῦτο γένος, ἢ εἶδος καλεῖ. Ἵνα δὲ μὴ ἀγνόητοι αὐτῶν ὦμεν, καὶ τῆς τάξεως τὴν αἰτίαν μάθωμεν, ἄπωμεν ὡς ἐν παραδείγματι τί ἐστιν ἕκαστον. Σωκράτη μὲν οὖν, καὶ Πλάτωνα, καὶ τοῦτον κατὰ μέρος, καλοῦσιν οἱ φιλόσοφοι μερικὰ καὶ ἄτομα· ὁμοίως δὲ καὶ ξάνθον, καὶ Βαλίαν, καὶ τόνδε τὸν ἵππον. Τὰ δὲ τῶν κατὰ μέρος περιεκτικὰ προσειχῶς, καλοῦσιν ἥδε, οἷον, τὸν καθόλου ἄνθρωπον· περιέχει γὰρ οὗτος κατὰ μέρος ὁ καθόλου. καὶ τἆλλα ὁμοίως. Τὰ δὲ τῶν τούτων πάλιν περιεκτικὰ, καλοῦσι γένη, οἷον, τὸ ζῷον· περιέχει γὰρ καὶ ἄνθρωπον, καὶ ἵππον. Μέσα δὲ τούτων ἐστὶν αἱ διαφοραί. διαφορὰ δέ ἐστιν ὡς αὐτὸς ὁ πορφύριος προϊὼν ἐρεῖ, ἣ διαιρήσεις ἕτερον ἑτέρου. κατὰ τοῦτο γὰρ ἡ διαφορὰ τῶν πραγμάτων διαφάνεται. ἐπεὶ κατὰ γένος ἁπλῶς γίνεται διαφορὰ ἐκδηλος οἷον τὸ ζῷον γένος ὑπάρχει, καὶ κατ' αὐτὸ οὐδὲν ἄλλο ἄλλου διαφέρει. πάντα γὰρ ζῷα καλοῦνται, καὶ ἵππος, καὶ κύων, καὶ βοῦς, καὶ ἄνθρωπος. ἐὰν γὰρ εἴπω ὅτι τοῦ ζῴου, τὸ μὲν ἔστι λογικόν, τὸ δὲ, ἄλογον, ὑποδιελὼν ἐποίησα τὴν διαφορὰν καθ' ἣν ἐφάνη διαφέρων ὁ ἄνθρωπος ἵππου, καὶ βοὸς, καὶ τῶν λοιπῶν ἀλόγων. λογικὸν μὲν γὰρ λέγεται, τὸ μετὰ λόγου καὶ κρίσεως τινὸς διάγον, οἷον, ἄνθρωπος, ἄγγελος· ἄλογον δὲ, τὸ

μὲν φθυκτὸν, δὶ ἕτερον δὲ ἄφικτὸν, λέγεται ἀναγκαῖον καὶ τὸ δὶ αὐτὸ ἄφικτὸν, λέγεται πάλιν ἀναγκαῖον καὶ τὸ δὶ ἑαυτὸ μὲν οὔτε ἄφικτὸν, οὔτε φθυκτὸν, δὶ ἄλλο δὲ ἄφικτὸν, ὡς τινα τῶν φαρμάκων, καὶ τὸ δὶ ἑαυτὸ καὶ δὶ ἄλλο ἄφικτὸν. κατὰ τοῦτο οὖν τὸ τελευταῖον σημαινόμενον τοῦ ἀναγκαίου ἐπὶ τὸ παρὸν σύγγραμμα ἀναγκαῖον, διὰ τὸ δὶ ἑαυτὸ καὶ δὶ ἄλλο ἀναγκαῖον εἶναι.

Οὕτως ἀναγκαίου χρυσαόρι καὶ εἰς τὴν τῶν παρὰ ἀριστοτέλει κατηγοριῶν διδασκαλίαν, τοῦ γνῶναι τί γένος, καὶ τί διαφορὰ, τί τε εἶδος, καὶ τί ἴδιον, καὶ τί συμβεβηκός.

Ὁ γὰρ ἀριστοτέλης ἐν ταῖς κατηγορίαις περὶ γενικωτάτων φωνῶν διαλέγεται, καὶ διαφορᾶς αὐτὰς χωρίζων, καὶ ἰδίοις. ἐν οἷς ἐκεῖ περὶ γενῶν καὶ διαφορῶν καὶ ἰδίων ὁ ἀριστοτέλης διαλέγεται, τὸ ἄρα γνῶναι τί ἐστι γένος, καὶ τί διαφορὰ, καὶ τί ἴδιον, καὶ τί εἶδος, χρήσιμον πρὸς διχρισίαν ἐκείνων κατάληψιν. κέχρηται δὲ τῷ, καὶ, σωδίσμῳ, ἐπὶ οὐ μόνον εἰς τὰς κατηγορίας ἐστὶ χρήσιμον, ἀλλὰ καὶ εἰς ἄπορ ὑποκατιὼν αὐτὸς λέγει. Τινὲς δὲ φασιν αὐτὸν εἰρηκέναι καὶ εἰς τὰς ἀριστοτέλους κατηγορίας, ὡς καὶ εἰς τὰς ἀρχύτου χρησιμευούσης τῆς τούτων τῶν πέντε φωνῶν γνώσεως. καὶ γὰρ κἀκεῖνος ἐγραψε κατηγορίας. ἄτοπον δὲ τοῦτο λέγειν αὐτὸν τοῦ πορφυρίου καὶ τὰ λοιπὰ διασαφήσαντος, εἰς ἃ ἐστὶν ἥτε τοῦ γένους καὶ τῆς διαφορᾶς, καὶ ἡ τῶν λοιπῶν γνῶσις χρήσιμος. Τῶν δὲ διαφορῶν προέταξε τοῦ εἴδους, ἐπὶ φυσικῶς προτέρου τοῦ εἴδους. διὰ τί δὲ τὸ γένος προέταξε τῆς διαφορᾶς ἐν τῇ διδασκαλίᾳ, τοῦτο ἐν τῷ οἰκείῳ τόπῳ ἀπελθόντες δείξομεν. νῦν δὲ περὶ ὧν ὁ πορφύριος τίθεται τὴν διδασκαλίαν ποιεῖσθαι, ταῦτ

τῶ ἀρχῶ ἀπὸ ἀορίστου πειᾶσθαι· φαμὲν οὖν, ὅτι οὐκ ἔστιν ὁμώνυμον τὸ ὄν, ἀλλ' ὡς ἀφ' ἑνὸς μέν, ὡς ἀπὸ τῆς ἰατρικῆς ἰατρικὸν βιβλίον, ἰατρικὸν ἐργαλεῖον· πρὸς ἓν δὲ βλέπουσι, τὸ ἰατρικὸν ἐργαλεῖον, ἢ τὸ ἰατρικὸν φάρμακον, τὴν ὑγίειαν· τί δέ ἐστι τὸ ἀφ' ἑνός, ἐν ταῖς κατηγορίαις εἰσόμεθα· Καὶ διὰ τί τὸ ὂν τοῦ ἀναγκαίου πρότερον ἔταξε; λέγομεν οὖν ὅτι διὰ τρεῖς αἰτίας, μίαν μέν, ὡς καθολικώτερον τὸ ὂν προέταξε, κατὰ δευτέραν δέ, διὰ τὸ σύφρασές, ἢ γοῦν ὥσπερ ἀναγκαίου ὄντος, οὐχ οὕτως ἔμελλον εἶναι ἡ φράσις σύφωνος, ἔχουσα τὸ κεχηνός, κατὰ δὲ τρίτην αἰτίαν, ἵνα ἀπὸ τῶν γενικωτάτων ἀρχώμεθα· οὕτως γὰρ ἀπὸ γενικωτάτων ἀρξάσθαι βουλόμενος ὁ Πορφύριος, τὸ ὂν προέταξε· Διὰ τί δὲ οὐκ εἶπε ἀγαθοῦ, ἢ χρησίμου, ἀλλ' ἀναγκαίου; ῥητέον οὖν ὅτι ἀπό τινος διῃρῆσθαι διαιρέσεως· Ἰστέον δὲ ὅτι τὰ δύο ταῦτα, ἀλλήλοις παρακέκμακεν, τὸ ἀγαθὸν, καὶ τὸ χρήσιμον· τὸ δὲ χρήσιμον τέμνεται εἰς δύο, εἰς τὸ ὁμώνυμον τῷ γένει χρήσιμον, καὶ εἰς τὸ ἀναγκαῖον· καὶ ἀγαθὸν μέν ἐστι, τὸ δι' ἑαυτὸ αἱρετὸν, οἷον, ἡ εὐδαιμονία, ἡ εὐσέβεια, χρήσιμον δέ, τὸ ἀντιδιασκελόμενον τῷ ἀναγκαίῳ, ὅπερ οὔτε παρὸν σώζει, ὅτε ἀπὸν φθείρει, ὡς ἡ τοιάδε ἕξις· ἀναγκαῖον δέ, ὃ παρὸν σώζει, καὶ ἀπὸν φθείρει, ὡς ἡ ἀναπνοή· πάλιν δὲ τὸ ἀναγκαῖον διττόν· ἢ τὸ δι' ἑαυτὸ αἱρετὸν, ὅπερ οὐδὲν τοῦ ἀγαθοῦ διαφέρει, οἷον, ἡ εὐδαιμονία, ἡ ὑγίεια, ἢ τὸ δι' ἄλλο αἱρετὸν, ὡς τὸ φλεβοτομεῖν, καὶ τὸ φαρμακον· κατὰ οὖν τὸ πρῶτον σημαινόμενον, ἢ τὴν πέντε φωνῶν γνῶσις ἀναγκαία, διὰ τὸ συμβάλλεσθαι ἡμῖν εἰς τὰς κατηγορίας, καὶ εἰς τὴν λογικὴν μέθοδον· τοῦτο δὲ τὸ ἀναγκαῖον, ἐξαχῶς λέγεται· λέγεται ἀναγκαῖον ἡ ὕλη, λέγεται ἀναγκαῖον καὶ τὸ λογικὸν τῷ ἀνθρώπῳ, λέγεται ἀναγκαῖον καὶ τὸ δι' αὐτὸ

ἀλλ' ἰδίαν ὑπόστασιν ἔχειν λέγει τις τὸ ὄν, ὁ κακῶς κατηγόρησε τοῦ ὄντος τὸ ἀναγκαῖον ὁ Πορφύριος: ἐπειδὴ καὶ τοῦτο δεδώκαμεν. κατὰ γὰρ τοῦ ἴσου τὸ ἴσον κατηγόρησε. Ἔτι μὴν καὶ κατὰ ἄλλον λόγον δείκνυται, μὴ ὂν γένος τὸ ὄν, μήτε τῶν προειρημένων τριῶν, τοῦτ' ἔστι ἀναγκαίου, καὶ τοῦ ἐνδεχομένου, καὶ τοῦ ὑπάρχοντος, μήτε τῆς οὐσίας τε καὶ τοῦ συμβεβηκότος, καὶ τῶν λοιπῶν κατηγοριῶν. ἐν οἷς γὰρ πρῶτόν τι καὶ δεύτερον, τούτων τὸ κοινῶς κατηγορούμενον γένος οὐκ ἔστι. τὸ γὰρ γένος εἰδῶν ἐστι γένος. τὰ δὲ εἴδη κατὰ τὸν αὐτὸν χρόνον ὑφίσταται, καὶ ἐν ἑαυτοῖς ἕκαστον ἔχει τὸ εἶναι, οὐκ ἐν ἀλλήλοις. ἡ δὲ καὶ τὸ συμβεβηκὸς δεύτερόν ἐστι τῆς οὐσίας, καὶ ἐν ἐκείνῃ ἔχει τὸ εἶναι: καὶ τὸ ὑπάρχον, δεύτερόν ἐστι τοῦ ἐνδεχομένου, καὶ ἐν ἐκείνῳ ἔχει τὸ εἶναι: ὁμωνύμως ἄρα κατὰ τούτων, ἀλλ' οὐ συνωνύμως τὸ ὂν κατηγορηθήσεται. ἀγαθὸν γάρ ἐστι καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον ἐν τούτοις φαίνεται. Πόθεν δὲ ἄλλον ὅτι τὸ συμβεβηκὸς ἐν τῇ οὐσίᾳ ἔχει τὸ εἶναι, καὶ ἐν τῷ ἐνδεχομένῳ τὸ ὑπάρχειν, ἀλλ' οὐκ ἐν αὐτοῖς; ὅτι ἀναιρουμένης τῆς οὐσίας καὶ τοῦ ἐνδεχομένου, σωναναιρεῖται τὸ συμβεβηκὸς καὶ τὸ ὑπάρχον. ἡ δὲ λῶν ἄδη ἐκ τοῦ ὄντος ἀπειλημμένα, καὶ μὴ ἐν ἐκείνοις ἔχει τὸ εἶναι, οὐκ ἀν τούτων τῶν εἰδῶν ἀναιρουμένων, οἷον τῆς οὐσίας, καὶ τοῦ ἐνδεχομένου, σωναναιρεῖτο τὸ ἕτερον. ἀγαθὸν γὰρ ἔστι καὶ ἄδος φθαρέντος τοῦ ζῴου, οἷον, κύνου, ἢ ἵππου, συναναιρεῖ καὶ τὰ ἕτερα εἴδη, οἷον, ἀνθρώπου, ἢ βοὸς, ἢ κάμηλον, ἢ ἄλλο τι τῶν λοιπῶν εἰδῶν. κατὰ τοσοῦτους γοῦν τρόπους, καὶ τὸ τῆς ἀπορίας ἄλογον δέδεικται, καὶ τὸ τῶν λύσεων ἀληθές. Τινὲς πάλιν αἰτιῶνται τὴν ἀρχὴν ὡς κακῶς ἐχουσαν, καὶ φασίν. εἰ γὰρ τὸ ὂν τῶν ὁμωνύμων ἐστὶ, τὸ δὲ ὁμώνυμον ἀόριστον, τὸ ὂν ἄρα ἀόριστον. οὐ δεῖ δὲ

σμοὶ δὲ εἰσὶ πάσαρδυ, πᾶς, τίς, οὐ πᾶς, οὐδείς· καὶ φασὶν αὐτοὺς ἐρῆσθαι προσδιορισμούς, διὰ τὸ ἐξ αὐτῶν ὁρίζειν τὸν διαλεγόμενον, εἴτε πρὸς καθόλου ὁρίζεται τινος, εἴτε περὶ μερικοῦ· ἐὰν μὲν γὰρ εἴπῃ, πᾶς, καθόλου σημαίνει, ἐὰν δὲ, τίς, μερικόν· τούτων τοίνυν οὕτως ἐχόντων, ἐπεὶ δὴ δέδεικται τοῖς φιλοσόφοις ἅπασιν, ὅτι τὸ ἀπροσδιορίστως τί λέγειν· ἰσοδυναμεῖ τῷ μετὰ προσδιορισμοῦ μερικῷ, τῷ τίς· τὸ γὰρ τίς ἄνθρωπος ἦλθεν, ταυτόν ἐστι τῷ ἄνθρωπος ἦλθεν· εἰ ταῦθ' οὕτω ἔχει, καὶ ὁ Πορφύριος ἄρα ἀπροσδιορίστως ἐρηκὼς, ὄντος ἀναγκαίου, ἢ μὴ προσθείς, παντὸς, μερικὸν ἔλαβε τὸ ὄν, ὥσανεὶ ἔλεγε τί ὂν ἀναγκαῖον ἐστι· μερικὸν δέ ὄν, ἐπίσης ἐστὶ τῷ ἀναγκαίῳ, ὡς καὶ αὐτοὶ ὁμολογοῦσιν· ὥστε εἰ μὴ φωνὴ ψιλὴ τὸ ὂν ἦν, ἀλλὰ πρᾶγμα ἰδίαν ὑπόστασιν ἔχον, ὡς τὸ ζῶον, οὐ κακῶς κατηγόρησε τὸ ἀναγκαῖον τοῦ ὄντος, ἀπροσδιορίστως αὐτοῦ κατηγορήσας· Ἔτι δέ, ὅτε μὲν τὰ πράγματα προσημαίνομεν λέγοντες, ὁ ἄνθρωπος, ὁ ἵππος, ὁ βοῦς, ὅτε δὲ μέρος τι τῶν πραγμάτων, ἢ περὶ τὰ πράγματα τί ὑπάρχον, διὰ τῆς γενικῆς σημαίνομεν, οἷον, ἐὰν εἴπωμεν τοῦ σώκρατους, ἢ τῶν μερῶν αὐτοῦ τι σημαίνομεν, ὡς τὴν χεῖρα, ἢ τὴν κεφαλὴν, ἢ τῶν περὶ αὐτὸν τί, οἷον, τὸν οἶκον, ἢ τὸ βιβλίον· Ὁ οὖν Πορφύριος ἢ μὲν εἰρήκει, τὸ ὂν ἀναγκαῖον εἶναι, διὰ τὴν ὑπόθεσιν, τὸ πρᾶγμα αὐτὸ ἐμελλε σημαίνειν· καὶ οὕτως ἂν ἴσως ἔδοξε τὸ τοῦ ὅλου μέρος κατηγορεῖν· ἐπειδὴ δὲ, ὄντος, εἶπε διὰ τῆς γενικῆς, ἀναγκαῖόν τινος ἢ μέρος τοῦ πράγματος, ἢ τῶν περὶ τὸ πρᾶγμα τί δηλοῖ· μέρος δέ τινος τῶν περὶ τὸ ὄν, ἐπίσης ἐστὶ τὸ ἀναγκαῖον, ὡς ἄνθρωπος ἐπίσης ἐστὶ τινος ζώου, καὶ ἡ χεὶρ ἐπίσης ἐστὶ τινος τῶν τοῦ ἀνθρώπου· καὶ κατὰ τοῦτον οὖν τὸν λόγον,

εἰ καὶ

ον ὀνόματα, ὅσα κατὰ πολλῶν κατηγορούμενα, καὶ ἐν πολλοῖς ἔχοντα ὑπόστασιν, ἔν τι πρᾶγμα ἐστι, καὶ ἰδίαν ὑπόστασιν ἔχει αὐτὸ καθ' αὑτὸ θεωρούμενα, ὡς τὸ ζῶον. καὶ γὰρ ἔστι καὶ κατὰ ἵππου, καὶ κατὰ ἀνθρώπου, καὶ κατὰ ἵππου, καὶ ἔχει μὲν καὶ ἐν τούτοις ὑπόστασιν, καὶ οὐσίαν μέντοι ἰδίαν ἔχει αὐτὸ καθ' αὑτὸ νοούμενον. ὁρίζομεθα οὖν τὸ ζῶον, οὐσίαν εἶναι αὐτὸ λέγοντες, ἔμψυχον αἰσθητικόν. ἐπεὶ ὅσα μὴ ἔχει ὑπόστασιν ἰδίαν, ἀλλ' ἐν σὶ φωναὶ ὁμώνυμοι, ὡς ὁ κύων, καὶ ὁ ἀστὴρ, καὶ ὅσα τοιαῦτα, οὐκ ἔστιν ὧν πλείονα, ψιλαὶ γάρ εἰσι φωναὶ, καὶ οὐ πράγματα. τὸ δὲ ὧν πλείονα πῶς εἶναι τί, δεῖ πρότερον αὐτὸ καθ' αὑτὸ εἶναι, εἶτα ὧν πλείονα ἕτερον εἶναι. τὸ οὖν ὄν, ἐπειδὴ οὐκ ἔχει ἰδίαν ὑπόστασιν, ἀλλ' ὀνόματος μόνον ἐστὶν ἐν τούτοις κοινωνία, πῇ τι ἀναγκαῖον, καὶ πῇ ἐνδεχόμενον, καὶ πῇ ὑπάρχον, οὐκ ἔστιν οὐδενὸς αὐτῶν ὧν πλείονα, φωνὴ γὰρ ἐστι ψιλή. Ἔ πεται δὲ, ὧν πλείονα λέγουσιν εἶναι τὸ ὄν, ὡς γένος αὐτὸ πάντως ἀξιοῦσιν εἶναι ὧν πλείονα. τὸ δὲ γένος τιμώμενον κατὰ τὸν αὐτὸν χρόνον τὰ εἴδη ποιεῖ ὑφεστάναι, καὶ πάντως οὐδενὸς οὔτε προτερεύοντος, οὔτε ὑστερουμένου. ἀναγκαῖον οὖν αὐτοὺς ὁμολογεῖν κατὰ τὸν αὐτὸν χρόνον γίνεσθαι, τό, τι ἀναγκαῖον, καὶ τὸ ἐνδεχόμενον, καὶ τὸ ὑπάρχον, ὅπερ ἄτοπον. τὸ μὲν γὰρ ἀναγκαῖον, τὸ ἀεὶ ἔχει. τὸ δὲ ἐνδεχόμενον, καὶ τὸ ὑπάρχον, τὸ ποτέ. οὐκ ἄρα γένος τὸ ὄν τῶν ἠρημένων. οὐδ' ἄρα ἐξ ἀνάγκης ὧν πλείονα. ἔστι γὰρ τὸ ὄν, φωνὴ ὁμώνυμος καὶ οὐ γένος. οὐδὲ φύσις τίς ἀφωρισμένη καὶ κεχωρισμένη ἑκάστῳ τῶν κατὰ μέρος ὑπάρχουσα, ὡς τὰ γένη ἔστιν.

Ἁπλῶς τε δὲ, ἅπαντα τὰ πράγματα, ἢ ἀπροσδιορίστως λέγομεν, ἢ μετὰ προσδιορισμοῦ. προσδιορισ-

χον δέ ἐστι, τὸ ἐς ἐνέργειαν προαχθὲν, καὶ οὐσίας οὐδὲ χόμενον. τούτων τοίνυν τὸ ὄν, οὐκ ἔστιν ἐπίσης. οὐ γὰρ ἀν πιρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολουθίαν, ὡς τὸ ἴδιον καὶ ὁ ὅρος, κατηγορούμενα ἀλλήλοις ἢ ὑποκείμενα. δύο γὰρ ταῦτα ἐξισάζει τοῖς τε ὑποκειμένοις κατηγορούμενα, καὶ τοῖς κατηγορουμένοις ὑποκείμενα, τό, τε ἴδιον, καὶ ὁ ὅρος. Ποῖον δ' ἐστὶ κατηγορούμενον, καὶ ποῖον ὑποκείμενον, ὑποκείμενον μὲν, ἐν ᾧ τὸ ἄρθρον πρόσκειται, κατηγορούμενον δὲ, ἐν ᾧ τὸ ἐστὶν, ἢ δυνάμει ἢ ἐνεργείᾳ σωιζόμενον. τῶν γὰρ κατηγορουμένων ἢ ὀνομάτων ἢ ῥημάτων ὄντων, τοῖς μὲν ὀνόμασιν ἐνεργείᾳ σωιζόμενον ἢ φωνὴ, τοῖς δὲ ῥήμασι δυνάμει. οἷον, ἐὰν εἴπω ὁ ἄνθρωπος, ὑποκείμενον εἶπον. ἐὰν δὲ προσθῶ, ζῶόν ἐστι, κατηγορούμενον. Τὸ οὖν ὂν ἐπίσης οὐκ ἔστιν, οὔτε κατηγορούμενον, οὔτε ὑποκείμενον τῷ ἀναγκαίῳ, ἢ τῷ ἐνδεχομένῳ, ἢ τῷ ὑπάρχοντι, ἀλλ' ὡς πλέον, οὐ γὰρ ἀνπιρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολουθίαν. πᾶν μὲν γὰρ ὅπερ ἐστὶν ἀναγκαῖον, ἢ ἐνδεχόμενον, ἢ ὑπάρχον, τοῦτο καὶ ὄν ἐστιν, οὐκ ἐπὶ δὲ ὅπερ ἐστὶν ὄν, τοῦτο πάντως ἢ ἀναγκαῖον ἐστὶν, ἢ ἐνδεχόμενον, ἢ ὑπάρχον, ἀλλ' ὅτι ἂν τούτων ἕν τι ᾖ, τὰ ἄλλα οὐκ ἐστὶν, οἷον, ἐὰν ἐνδεχόμενον ᾖ, οὔτε ἀναγκαῖον ἐστὶν, οὔτε ὑπάρχον. ἐ τοίνυν οὐκ ἀνπιρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολουθίαν τὸ ὄν, ὡς πλέον ἄρα ἐστὶ τοῦ τε ἀναγκαίου, καὶ τοῦ ἐνδεχομένου, καὶ τοῦ ὑπάρχοντος. Τί δήποτε οὖν ὁ πορφύριος πάσης κατηγορίας, ἢ ἐπὶ πλέον, ἢ ἐπίσης βουλόμενος εἶναι τῷ ὑποκειμένῳ, οὐδέποτε δὲ ἐπ' ἐλαττον, αὐτὸς τὸ ἀναγκαῖον ἐπ' ἐλαττον ὂν, τοῦ ὡς πλέον κατηγόρησε, λέγω δὴ τοῦ οὕτως, ἐπὶ ὧν, οὕτως ἀναγκαίου, φαμὲν οὖν ὅτι ἀληθὲς μέν ἐστι, τὸ μὴ ἐπ' ἔλαττον τῶν ὡς πλέον κατηγορεῖσθαι, τὸ μέν τοι ὄν, οὐκ ἔστιν ὡς πλέον τοῦ ἀναγκαίου. κυρίως γὰρ ἐκεῖνα ἐστὶν ὡς πλέ-

Digitized by Google

βούλεται διαλεχθῆναι, καὶ τί τὸ χρήσιμον, ὅτι χρησιμεύει οὐ μόνον εἰς τὰς ἀριστοτέλους κατηγορίας, ἀλλὰ καὶ ἁπλῶς εἰπεῖν, εἰς πᾶσαν εὑρετικὴν μέθοδον φιλοσοφίας, καὶ τίνι κέχρηται τρόπῳ διδασκαλίας, ὅπως ἀσφαλῶς καὶ πρέπουσι παρακολουθῶν ἀκροαταῖς. οὔτε γὰρ μείζονα κατὰ τοῦτο εἰσαγομένους θεωρήματα διδάσκει, οὔτε εἰς μῆκος ἐκτείνει τὸ σύγγραμμα, οὔτ' ἀσαφεῖ τῇ λέξει κέχρηται, ἵνα διὰ τούτων προτρέψηται τοὺς νέους εἰς τὴν τοῦ βιβλίου ἐκλογήν. Ὁ δὲ, καὶ σώδεσμος, σημαίνει ἡμῖν, ὡς οὐ μόνον εἰς τὴν τῶν κατηγοριῶν διδασκαλίαν συμβάλλεται τὸ βιβλίον, ἀλλὰ καὶ εἰς πᾶσαν φιλοσοφίαν. ἄλλως τε, καὶ εἰς τὴν τῶν παρὰ ἀριστοτέλει κατηγοριῶν ἔπεσε, ἐπειδὴ συμβάλλεται τὸ βιβλίον οὐ μόνον εἰς τὴν διδασκαλίαν τῶν παρὰ ἀριστοτέλει κατηγοριῶν, ἀλλὰ καὶ εἰς τὰς ἄλλας κατηγορίας. ἐδεῖ γὰρ δὴ χεῖν, ὅτι οἱ πολλοὶ τῶν ἀριστοτέλους ἑταίρων κατὰ ζῆλον τοῦ διδασκάλου ἔγραψαν κατηγορίας, καὶ πρὸς ἑρμηνείας, καὶ ἀναλυτικά. συμβάλλεται οὖν τὸ βιβλίον τοῦτο οὐ μόνον εἰς τὰς ἀριστοτέλους κατηγορίας, ἀλλὰ καὶ εἰς τὰς ἀρχύτου, καὶ εἰς πάσας τὰς τῶν φιλοσόφων πραγματείας. Ἀποροῦσι δέ τινες σύθεν σὲ ἀρχῇ, εἰς τὸ, ὄντος ἀναγκαίου, ἄλογον μοι, καὶ οὐκ ἀκόλουθον ἀπορίαν, πλὴν καλῶς ἔχουσαν εἰρῆσθαι διὰ τὴν τῶν λύσεων θεωρίαν λαμφερωτέραν καὶ ὠφέλιμον οὖσαν. ἀποροῦσιν οὖν οὕτως. τοῦ ὄντος, τὸ μὲν, ἐστὶν ἀναγκαῖον, τὸ δὲ, σύδεχόμενον, τὸ δὲ, ὑπάρχον. ἀναγκαῖον μὲν οὖν ἐστι, τὸ ἀεὶ ὡσαύτως ἔχον, καὶ ἐξ ἀνάγκης ὄν, οἷον, τοῦ ἡλίου ὑπὲρ γῆν ὄντος, ἡμέρα ἐστίν. σύδεχόμενον δὲ τὸ δυνάμενον ἔχειν τὴν δύο ἀντικειμένων ὕπαρξιν, οἷον, τὸ τοῦ ἀναγωγὸν εἶναι, καὶ τὸ τοῦ μὴ ἀναγωγὸν εἶναι, οὔπω δὲ οὐδέτερον ὄν, ἀλλὰ τῷ δυνάμει μόνον εἶναι θεωρούμενον. ὑπάρ-

καῶν ὡς εἶπον, καὶ τὸ τῷ σὺν δυσὶ χωμένῳ ἀπιθανεύμενον, οὕτινος χωρὶς τὸ ὑποκείμενον ἀδιάστατον εἶναι, οἷον, ἀναγκη τὰ ζῶα τὰ ἔχοντα πνεύμονα αὐαπνεῖν πάντως, ἵνα ζῶσιν. ἀναγκαῖον οὖν τι χρῆμα ἡ αὐαπνοή. χωρὶς γὰρ ταύτης ἀδιάστατον ἦν τὰ ἔχοντα πνεύμονα ζῶα. ἀναγκαῖον οὖν λέγεται τοῦτο εἶναι τὸ βίβλιον, ἢ κατὰ τὸ πρῶτον, ἢ κατὰ τὸ δεύτερον σημαινόμενον. καὶ φαμὲν, οὐχὶ κατὰ τὸ δεύτερον, ἀλλὰ κατὰ τὸ πρῶτον, καὶ γὰρ πρὶν γνῶναι τὸν πορφύριον, οὐκ ἦν γνῶσαι τὸ τί δηλοῦσιν αἱ τῶν φιλοσόφων πραγματεῖαι. δῆλον οὖν ὡς χρήσιμον καὶ θύμαρὲς ποιοῦσι τὰ τῶν ἐκείνων γόνησιν, οὕτως ἀναγκαῖον εἶναι λέγεται. μήποτε δὲ δυνατὸν καὶ κατὰ τὸ δεύτερον σημαινόμενον ἀναγκαῖον λέγεσθαι, οὐ χωρὶς ἐκεῖνα γονεῖσθαι ἀδιάστατον, οὐχὶ ἐπ' αὐτοῦ τοῦ συγγράμματος νοουμένων ἡμῶν τὸ ἀναγκαῖον, ἀλλ' ἐπ' αὐτῆς τῆς τῶν ἑρμηνειῶν πέντε φωνῶν θεωρίας. ἄνευ γὰρ τῆς τούτων γνώσεως τὰ ἄλλα ἀκριβῶς γνωσθῆναι ἀδιάστατον. ὅθεν καὶ ὁ πορφύριος οὐκ εἶπεν ἀναγκαίου ὄντος τοῦτον τοῦ συγγράμματος, ἀλλ' ἀναγκαίας οὔσης τῆς τούτων θεωρίας. καὶ γὰρ πρὶν τὸν πορφύριον περὶ τούτου γράψαι, ἀναγκαία ἦν περὶ αὐτῶν θεωρία εἰς τὴν τῶν φιλοσόφων θεωρημάτων γνῶσιν, καὶ ἄνευ ταύτης ἐκεῖνα γονεῖσθαι ἀδιάστατον. τοσοῦτον οὖν τὸ ἐκ τοῦ προκειμένου βιβλίου γέγονε χρήσιμον, ὅτι τὰ σποράδην παρὰ τοῖς πρεσβυτέροις ἑρμηνεύσαντες, καὶ θύμαρὲς ἡμῖν καὶ σώφρονα τὴν παρ' αὐτῶν θεωρίαν ἐποίησαν. ὅθεν οὐδὲ ὁ πορφύριος ἰδιοποιεῖται τὴν διάρισιν τῆς παρ' αὐτῶν θεωρίας, ἀλλὰ τὰ παρὰ τοῖς πρεσβυτέροις, φησὶν ἐπελθὼν πειράσομαι. ἴσιον δὲ ὅτι ὀλίγους τινὰ προοιμίοις περὶ τριῶν τούτων διαλέγεται. λέγει γάρ τις ἡ πρόθεσις τοῦ συγγράμματος, ὅτι περὶ τὴν πέντε φωνῶν ἐκείνων

λη διδασκαλίας. Παντα τα ὄντα αὐτοφυῶς ἐφίεται τοῦ ἀγαθοῦ, ἐπειδὴ περ τῶν ὄντων ἁπάντων μία ἐστὶν ἀρχὴ τὸ ἀγαθόν. πάντα οὖν πρὸς τὸ ἀγαθὸν, ὡς οἰκεῖον ἀγαθὸν ἀναπίπτει, καὶ τελοῦται τῶν ὄντων ἕκαστον, μετέχον ἐκείνου κατὰ τὰ οἰκεῖα μέτρα. οὐδεὶς οὖν κακοῦ ἐφίεται, ἀλλὰ καὶ οἱ πόντου ἐφιέμενοι, ὡς ἀγαθοῦ αὐτοῦ ὀρέγονται. ἢ νίκα πίνων βούλεται τις πυὰ ἐπὶ πρότερίψασθαι, τὸ ἐκ πόντου ἀγαθὸν ἀναφαίνει, ὡς ἐκ τούτου ἐφίλκειν αὐτόν. τοῦτο τοίνυν ὁ φιλόσοφος πορφύριος ποιεῖ. βουλόμεθα γὰρ οὐκ ἐσαγομένους προτρέψασθαι ὧν τὰ τοῦ βιβλίου ἀναγνῶσιν, τὸ ἐκ τούτου ἐσόμενον ἀγαθὸν μιμούμενοι κατ' ἀρχὰς. ἐπειδὴ δὲ διττόν ἐστι τὸ ἀγαθὸν, τὸ μὲν, ὡς τέλος, ὅταν ἅπαξ τις ἀγαθὸν τὴν ὑγίειαν, τὸ δὲ, ὡς πρὸς τέλος, ὅταν ἅπαξ τις τὸ φλεβοτομεῖν ἀγαθὸν, οὐ καθ' αὑτὸ, ἀλλὰ διὰ τὴν ὑγίειαν, τὸ ἀναγκαῖον τὰ τοιαῦτα οὐ κυρίως λέγεται ἀγαθὸν, ἀλλ' ὡς πρὸς μεῖζον ἀγαθὸν ἀναφερόμενον. λέγει γὰρ ἐμμένειν ὑγιαίνουσιν, ἀναγκαῖον φλεβοτομεῖσθαι. διὰ τοῦτο οὖν τὸ ἅπαξ ἀναγκαῖον, ἐπειδὴ ὡς πρός τι τέλος ἄλλο ἀναφέρεται τὸ βιβλίον, τὰς κατηγορίας, καὶ οὐκ ἔστιν ἀγαθὸν ὡς τέλος, ἀλλὰ ὡς πρὸς ἄλλο συμβαλλόμενον. καὶ ἁπλῶς ἂν εἴποι τις, ἀναγκαῖον τὰ τοιαῦτα λέγει τὸ βιβλίον, ὡς πρὸς μεῖζον ἀγαθὸν αὐτὸ ἀνάγων. καὶ ἤτοι ὡς χρήσιμον, ἢ ὡς καθ' αὑτὸ ἀναγκαῖον, καὶ χωρὶς αὐτοῦ, τὰ ἄλλα μὴ δυνάσθαι τὴν φιλοσόφων ἀναλίσκεσθαι συγγράμματα. ἴσον γὰρ ὅτι οἱ φιλόσοφοι, τὸ ἀναγκαῖον διχῶς λέγουσιν. ἀναγκαῖον γὰρ λέγουσιν, ἢ τὸ χρήσιμον, ἢ τὸ ἀναπόδραστον ἢ ἀδιαφθόρως ἔχον. καὶ χρήσιμον μὲν λέγουσι τὸ συμβαλλόμενον εἴς τι, οἷον, τὸ ὑποδεῖσθαι, τὸ σῴζεσθαι. συμβαλλεται γὰρ εἰς τὸ ἧττον διαφθείρεσθαι τὰ σώματα, καὶ διὰ τοῦτο διαρκῆ εἰς πλείονα χρόνον. λέγεται δὲ ἀναγ-

ἐστὶ τινες, διὰ τί ἀπροσδιορίστως ἐπέγραψεν, εἰσαγωγήν. ἄδηλον γάρ, πότερον γραμματικῆς, ἢ ῥητορικῆς, ἢ λογικῆς· φαμὲν οὖν πρὸς αὐτοὺς, ὅτι τὰ ὑπερέχοντα τὴν πραγμάτων, ἀορίστως εἰώθαμεν σημαίνειν. ὥσπερ ὅτι τὸν ὅμοιον βουλόμενοι σημαίνειν, ὁ ποιητὴς, λέγομεν κατ' ἐξοχὴν· τί οὖν ἐκώλυε τὸν βουλόμενον τὴν φιλοσοφίαν σημαίνειν, ἀορίστως κατ' ἐξοχὴν σημαίνειν. ἔπειτα δὲ καὶ τοῦτο φαμέν· ἡ εἰσαγωγὴ τέχνης ἢ ὠφελίμης ἐστὶν εἰσαγωγὴ ἀναμφιβολήτως. ἡ δὲ φιλοσοφία τέχνη ἐστὶ τεχνῶν, καὶ ὠφελιμωτάτη ὠφελημῶν. πῶς οὖν εἰς ταύτην ἡμᾶς μέλλων εἰσάγειν, καὶ διὰ μέσης ταύτης εἰς ἁπάσας τὰς τέχνας, ὑπερβαλλόντως ἔχει ὁ ὅρος, ἔμελλε μιᾶς τινος τέχνης εἰσαγωγὴν τὸ βιβλίον ὠνομάσθαι· τοσαύτα καὶ περὶ τῆς ὠνομασίας. Ἰστέον δὲ ὅτι διῄρηται τὸ σύγγραμμα τοῦτο εἰς τρία καὶ φησὶ τῷ πρώτῳ μέρει διδάσκει περὶ τῶν εἰρημένων πέντε φωνῶν. φησὶ δὲ τῷ δευτέρῳ συμπλέκει αὐτὰς κατὰ δύο, καὶ διδάσκει τί κοινὸν αὐτῶν, καὶ τί ἴδιον· οἷον, τί κοινὸν γένει, καὶ τί εἴδει, καὶ τί ἰδίῳ, καὶ τί διαφορᾷ, καὶ τί συμβεβηκότι. φησὶ δὲ τῷ τρίτῳ διδάσκει τίνα πάντων ἅμα κοινά ἐστι. πρὸ δὲ τούτων, φησὶ τῷ προοιμίῳ τὸν σκοπὸν προανακρούεται τοῦ βιβλίου, καὶ τὸ χρήσιμον διδάσκει, καὶ τὸν τρόπον τῆς διδασκαλίας, ὅτι ἁπλούστερός τε καὶ εἰσαγωγικώτερος ἔσται. Ὑπὸ δὲ τὸ λογικὸν ὄργανον ἀνάγεται τῆς φιλοσοφίας τὸ προκείμενον βιβλίον· διδάσκει γὰρ τὰς εἰς τὴν ἀρχὴν τῆς ἀποδείξεως συνθετικὸν, ἤτις ἐστὶ τῷ γένει συλλογισμός· ὃς εἶδος ἐστὶ τοῦ συνθέτου λόγου· ὃς πάλιν γένει ἐστὶ λόγος. ἔπειτα δὲ, καὶ εἰς τὰς ἀριστοτέλους κατηγορίας εἰσάγει, αἵπερ εἰσὶ τῆς λογικῆς. ἡ δὲ λογικὴ οὐ μέρος τῆς φιλοσοφίας, ἀλλ' ὄργανον, ὡς ἑτέρωθι δείξομεν.

Οὕτως ἀναγκαίου χρυσαόριος, καὶ εἰς τὴν παραριστοτέ-

ρὶ πάντ πῶν εἰπῶν φωνῶν, ὑφ' ἃ πάντα τὰ ὄντα ἐστὶν, ἤχου σὺ τοῖς οὖσι πᾶσι θεωρεῖται. ἔστι δὲ ταῦτα, γένος· εἶδος· διαφορά· ἴδιον· καὶ συμβεβηκός. Χρήσιμον δὲ ἐστι τὸ βιβλίον εἰς πᾶσαν φιλοσοφίαν· διδάσκει γὰρ ἡμᾶς τὰ καθ' αὑτὰ προσόντα τῇ οὐσίᾳ, ἅπερ αὐτῶν ἐστιν ἄπτα τῆς συστάσεως· ἐκ δὲ τῶν αἰτίων τῆς συστάσεως τὰς ἀποδείξεις λαμβάνομεν· ὥστε ἀποδεικτικὸν διδάσκει, καὶ πρὸς πᾶσαν φιλοσοφίαν χρήσιμον· διὰ γὰρ τῆς ἀποδείξεως τὸ τίνι αὐτῆς γινώσκομεν. Τὸ δὲ γνήσιον δηλοῖ μὲν καὶ ἡ φράσις σαφὴς οὖσα, καὶ τὸ σὺν ἄλλοις αὐτοῦ βιβλίοις τὴν σὺν τῷ δὲ τῷ βιβλίῳ θεωρημάτων μεμνῆσθαι. ἔτι δὲ καὶ τὸ προσφωνεῖν αὐτὸ χρυσαορίῳ· τοῦτον γὰρ καὶ ἄλλα πάντα προσφωνήσας βιβλία, καὶ τοῦτο προσφωνεῖ, διὰ τοιαύτην αἰτίαν, διδάσκαλος ὢν τοῦ χρυσαορίου, καὶ ἐξηγούμενος αὐτῷ τὰ μαθήματα, ἐδίψησεν ἰσορῆσαι τὸ πῦρ τῆς αἴτνης, καὶ ἐξεδήμησε· τούτῳ τῷ χρόνῳ εὑρίσκει ὁ χρυσαόριος τὰς ἀριστοτέλους κατηγορίας, καὶ οὐδ' ὅλως παρηκολούθει ἐγκύπτων. δηλοῖ οὖν τῷ πορφυρίῳ ἐκεῖνον γράψας τὸ συμβάν· καὶ ἡ μὲν ἰσόρησε τὸ πῦρ, ἐλθεῖν, ἃ δὲ μὴ ἰσόρησεν, εἰσαγωγὴν πρὸ γράψαι, δίκης ἂν μέλλοι παρακολουθεῖν τῷ βιβλίῳ· ἐπειδὴ τοίνυν ὁ πορφύριος οὐκ ἠδυνάτο τίνως ὑποστρέψαι, γράφει αὐτῷ τὸ βιβλίον τοῦτο ἐκ τῶν ἐρμηνευόντων τῷ πλάτωνι, καὶ ταυτὶ συλλέξας χιδὸν, καὶ δι' αὐτῶν τῶν ῥημάτων ἐλθών· καὶ ἐκ τούτου μὲν δηλον ὅτι γνήσιον τοῦ παλαιοῦ τὸ βιβλίον.

Πρῶτον δέ ἐστι τῇ τάξει· εἰ γὰρ εἰς τὰς ἀριστοτέλους κατηγορίας εἰσάγει, αἱ πρὸ τῶν ἁπλῶν ἐστι φωνῶν, αὗται δὲ τῆς λογικῆς ἀρχαὶ, δῆλον ὅτι πρῶτον τῇ τάξει ἐστὶ τῆς λογικῆς· εἰκότως οὖν πρὸ αὐτῆς τέθειται· καὶ ταῦτα μὲν περὶ τῆς τάξεως. Εἰσαγωγὴ δὲ ὠνόμασται· καὶ ἀπὸ

μαστικὰι φωναί. Εἰς πόσα μὲν οὖν, καὶ τίνα τὸ τῆς φιλοσοφίας διαιρῆται ἕκαστον μέρος, καὶ τί ἔχει ἀποτέλεσμα, ἤδη εἴρηται. δεῖ δὲ ἡμᾶς ἐπὶν ἡ τὰ πρὸς τὸν φιλοσόφων οὕτω προσαχρεύομεν προλεγόμενα, ἤτοι προτιχνολογούμενα τῷ παντὸς βιβλίου. ἔστι δὲ ταῦτα· ὁ σκοπός. τὸ χρήσιμον. τὸ γνήσιον. ἡ τάξις τῆς ἀναγνώσεως. ἡ αἰτία τῆς συγγραφῆς. ἡ εἰς τὰ κεφάλαια διαίρεσις. ὁ διδασκαλικὸς τρόπος. καὶ ἡ ὑπὸ τί μέρος ἀναφορά. τῶν τα δὲ ἐπενόησαν οἱ φιλόσοφοι προλέγειν, οὐχ ὡς πρᾶγμά τι προσιπτυσσομένοις αὐτοῖς, ἢ κατὰ τὰς ἄλλας τέχνας, ἀλλὰ προθυμοτέρους ποιῆν βουλόμενοι τὸν ἀναγινώσκοντας. Ἀναγινώσκων γάρ τις, ἐὰν ἀγνοῇ τὸν σκοπὸν τοῦ βιβλίου, σκυθρὼ καὶ ἀφίησι διὰ μέσου, καὶ ταυτὰ πάσχει τοῖς ὁδοιπορῦσιν, ἐφ' ἅμ' ἵστασι. διὰ τοῦτο οὖν τὸν σκοπὸν λέγουσιν. Οὐμὴν οὐ δεῖ ὁ τὸν σκοπὸν ἐγνωκὼς, προθύμως ἐγχειρεῖν τῷ ἔργῳ, πρὶν ἂν καὶ τὸ ἀπ' αὐτοῦ χρήσιμον μάθοι. ὡς τε ἐκόντως καὶ τὸ χρήσιμον λέγουσιν. Ἔτι δὲ καὶ ταῦτα μαθόντες, ἀπορῦμεν εἰ χρήσιμόν ἐστι, πρὶν γνῶμεν εἰ γνήσιόν ἐστι τοῦ παλαιοῦ τὸ βιβλίον, ὃν ἴσμεν ἔνδοξον ὄντα, οἷον, τοῦ Ἀριστοτέλους, καὶ Πλάτωνος. ἐκείνους γὰρ ὑπολαμβάνομεν χρήσιμα πάντα ἠρκέναι διὰ τοῦτο δεῖν καὶ τὸ γνήσιον λέγομεν. Ἐκ δὲ τούτων γνώσεως ἀνάκειται καὶ ἡ περὶ τάξεως ζήτησις, πότερον αὐτὸ δεῖ πρῶτον τάττεσθαι, ἢ ὕστερον, καὶ διὰ τοῦτο καὶ τὴν τάξιν λέγουσι. Τῷ δὲ συγγραφεῖ λέγουσιν, ἐπειδὴ ὡς ἐν σωτόμῳ τὸν σκοπὸν περιέχει. Ἔτι δὲ καὶ τὸ ὑπὸ ποῖον μέρος ἀνάκειται τῆς φιλοσοφίας, διὰ τὸ εἰδέναι ποῦ μάλιστα σωστέον. δεδεήμενον δὲ τίνος ἕνεκα ταῦτα προλέγουσιν οἱ φιλόσοφοι· καιρὸς ἤδη καὶ ἡμᾶς λέγειν τὰ προλεγόμενα τοῦ βιβλίου. Ἔστι δὲ σκοπὸς ἐνταῦθα τῷ πορφυρίῳ πε-

Digitized by Google

ρὶ πι. Ἔχομεν οὖν δέκα ταύτας κοινότητας οὐσίας· πο
σόν· ποιόν· πρός τι· ποῦ· ποτε· κεῖσθαι· ἔχειν· ποιεῖν· πά
σχειν. ἑκάστου οὖν τῶν ὄντων πάντων, ὑπὸ μίαν τούτων τε
λῶν τὴν κοινότητων· ταύτας δὲ ἐκάλεσαν κατηγορίας, ὡς
κατὰ τινῶν τὴν ὑπ' αὐτὰς τελουμένων ἀγορευομένας τε καὶ λε
γομένας. Περὶ τούτων οὖν τῶν δέκα κατηγοριῶν ὁ Ἀ
ριστοτέλης ἔγραψε βιβλίον, καὶ ἐμνήσθην ἐν τῇ διδασκαλίᾳ
αὐτοῦ, φωνῶν πέντε τινῶν ἀγνώστων ἡμῖν οὐσῶν τῇ σωμ
βάσ. γένους, εἴδους, διαφορᾶς, ἰδίου, καὶ συμβεβηκό
τος. ὁ γοῦν φιλόσοφος πορφύριος φιλανθρώπως ποιῶν
ἅμα καὶ φιλοσόφως, ἔγραψε τοῦτο τὸ βιβλίον διδά
σκων ἡμᾶς τί σημαίνει ἑκάστη φωνή. ἵνα μαθόντες εὐχερέ
στερον δυνηθῶμεν παρακολουθεῖν τοῖς ὑπὸ τοῦ Ἀριστοτέλους
λεγομένοις περὶ τῶν κατηγοριῶν. ὁ οὖν τοῦ πορφυρίου σκο
πὸς, οὗτός ἐστιν. Ἔγραψε δὲ τὸ βιβλίον εἰσαγωγὴν,
ἐπειδὴ ὁδός ἐστι πρὸς πᾶσαν φιλοσοφίαν· προηγοῦνται
γὰρ τῶν φιλοσόφων πάντων συγγραμμάτων αἱ κατηγο
ρίαι. τούτων δὲ, ἡ εἰσαγωγή. ὅπερ δὲ οἱ φιλόσοφοι ὧν
πάντων τῶν ὄντων ἐποίησαν, ἀνήγαγον γὰρ πάντα τὰ ὄν
τα ὑπὸ τὰς δέκα κοινότητας, καὶ οὐδέν ἐστι τῶν ὄντων ὃ
μὴ πάντως εὑρίσκεται ὑπό τινα τῶν τοιούτων κοινότητα
ἀναγόμενον, τοῦτο καὶ οἱ γραμματικοὶ ὧν τῶν ὀκτὼ φω
νῶν πεποιήκασι. βουλόμενοι γὰρ τὴν ἀπειρίαν τῶν φωνῶν ἐπεξελθεῖν. καὶ μὴ δυνηθέντες. ἀνήγαγον τὰς μὲν
τοιάς δὲ φωνὰς, ἐπί τινα κοινότητα, τὴν τοῦ ὀνόματος·
τὰς δὲ τοιάς δε, ἐπί τινα κοινότητα, τὴν τοῦ ῥήματος.
καὶ οὕτως ἐποίησαν τὰ ὀκτὼ παρ' αὐτοῖς τοῦ λόγου μέ
ρη. οὕτω καὶ ὁ πορφύριος ἀνήγαγε πᾶσαν σημαντικὴν
φωνὴν περιέχ τὴν σημαντικῶν τῶν ἀτόμων ὑπό τινας πέν
τε φωνὰς, ὑφ' ἃς πᾶσαι αἱ κατὰ μέρος ἀνάγονται σημ

δηλαδή. πάλιν δύρυ τί μέγα καὶ μικρόν, ἅπερ ἐκάλεσαν συνεχῆ. ἐπεὶ οὖν ὁ ἀριθμὸς καὶ τὸ συνεχὲς κοινόν ἐστιν ἀλλήλοις καθὸ ποσά ἐστι, ποσὸν γάρ ἑκάτερον, ἀνήκοντα τούτῳ τῷ καθόλου ποσόν. ἔχουν οὖν κοινότητας δύο πρὸς ἐκπλὰς πραγμάτων πολλῶν, τὴν οὐσίαν, καὶ τὸ ποσόν. Πάλιν ἐπί τι λευκόν, καὶ πολλὰ αἱ κατὰ μέρος λευκότητες. τὸ γὰρ λευκὸν ἢ σὺ θιμυθίῳ ἐστίν, ἢ σὺ χιόνι, ἢ σὺ κύκνῳ. ταῦτα οὖν πάντα ὑπὸ τὸ ἁπλῶς λευκὸν ἀνήκοντα. οὕτω δὲ καὶ τὸ μέλαν, καὶ τὸ φαιὸν, καὶ τὰ τοιαῦτα, ἀνήκοντα ὑπὸ τὸ χρῶμα. ἐστι δὲ πάλιν, γλυκὺ, πικρὸν, θερμὸν, ψυχρόν. ταῦτα οὖν πάντα τὰ ἀπηριθμημένα, ἀνήκοντα ὑπὸ τὸ κοινὸν γένος, τὸ ποιόν. ποιὸν δέ ἐστιν, ἀφ' οὗ πορωνύμως τὸ μετέχον ὀνομάζεται· ἀπὸ γὰρ τῆς λευκότητος λέγεται λευκός· καὶ ἀπὸ τῆς γραμματικῆς λέγεται γραμματικός. Πάλιν ἐπί τι δεξιόν, καὶ ἀριστερόν· διπλάσιον, καὶ ἥμισυ. καὶ ταῦτα πάντα ἀνήκοντα ὑπὸ τὸ κοινὸν γένος, τὸ πρός τι, ὅ ἐστι σχέσις ἑτέρου πρὸς ἕτερον. Πάλιν δέ ἐστί τι τὸ σὺ λυκαβῶ εἶναι, ἢ ἐν ἀγορᾷ, καὶ ἴσα τοιαῦτα. ἅπερ ἀνήκοντα ὑπὸ τὸ που, ὅπερ ἐστὶ τόπου σημαντικόν. Πάλιν ἐπί τι χθές, πέρυσι, σήμερον, αὔριον, καὶ ὅσα τοιαῦτα. ἅπερ ἀνήκοντα ὑπὸ τὸ πότε, ὅπερ ἐστὶ χρόνου σημαντικόν. Πάλιν ἐπί τι τὸ κάθηται, τὸ ἔσται, τὸ καθῆσθαι. ἅπερ ἀνήκοντα ὑπὸ τὸ κεῖσθαι. κεῖσθαι δέ ἐστιν ἡ τοιάδε θέσις τοῦ σώματος. Πάλιν δέ ἐστί τι, τὸ ὑποδεῖσθαι, τὸ ὁπλίζεσθαι, τὸ δακτύλιον φορεῖν. τὰ τοιαῦτα ἀνήκοντα ὑπὸ τὸ ἔχειν. ἔχειν γάρ ἐστιν· ὑσίασε πορὶ οὐσίας πορὶ θέσεως. Πάλιν ἐπί τι τὸ τύπτειν, θερμαίνειν, ψύχειν. τὰ τοιαῦτα ἀνήκοντα ὑπὸ τὸ ποιεῖν. Πάλιν θεασάμενοί τινα λυκαυγοῦντα, τυπτόμενα, ἀνήκοντα ὑπὸ τὸ πάσχειν, ὅπερ ἐστὶν ἀλλοιοῦσθαι ὑφ' ἑτέρου. ποιεῖν δέ ἐστι τὸ δρᾶν τι

τοῦ καθόλου λίθου, καὶ ἀπὸ τοῦ καθόλου ξύλου καὶ τῶν τοιούτων, ὧν τὸ κοινὸν γένος, τὸ ἄψυχον, ὅπερ ἔχει ταῦτα πάντα· ἔχομεν ὡς δύο κοινότητας, τὸ ἔμψυχον, καὶ τὸ ἄψυχον. Ταῦτα δὲ πάλιν ἀφήκαμεν ὧν τὸ κοινὸν γένος τὸ σῶμα, ὅ ἐστι τὸ τριχῇ διαστατόν, λίθος δὲ καὶ ξύλα καὶ ἄνθρωποι, καὶ πάντα ἁπλῶς ὅσα σώματα εἰσι, τὰς τρεῖς ἔχουσι διαστάσεις· πάλιν ἀπὸ τῶν ψυχῶν καὶ ἀγγέλων καὶ τῶν τοιούτων, ἀφήκαμεν ἑαυτοῖς ἐπί τινα κοινότητα τὸ τοῦ ἀσωμάτου, ἀντιπεπονθότας τῷ σώματι ἔχουσαν· τὸ μὲν γὰρ, τριχῇ διαστατόν ἐστι, καὶ παντὶ μερισόν, τὸ δὲ, παντελῶς ἀμερές τε καὶ ἀδιάστατον· ἐζητήσαμεν οὖν τί ἐστι κοινὸν σὺν ἀμφοτέροις, καὶ εὕρομεν ὡς οὐσία ἐστὶν ἑκάτερον· καὶ γὰρ τὸ σῶμα οὐσία ἐστὶ, καὶ τὸ ἀσώματον, οἷον, ψυχὴ, ἄγγελος, θεός· ἔχομεν ἓν ἀφαλαγῆν ἑαυτοῖς ὧν τὸ κοινὸν γένος τὴν οὐσίαν, τοῦ τῆς οὐσίας ὀνόματος αὐθυπόστατον πρᾶγμα δηλοῦντος· μαθόντες δὲ τὸ λεχθέν ἐκ τοῦ σαυτοῦ· ἔστι τινὰ τῶν πραγμάτων, ἃ μὴ δύναται αὐτὰ καθ' ἑαυτὰ ὑποστῆναι, ἀλλὰ σὺν ἄλλοις τὸ εἶναι ἔχει, ἃ καὶ συμβεβηκότα καλεῖται, ἀλγηδόνες, μελαγία, γλυκύτης, καὶ τὰ τοιαῦτα· ταῦτα γὰρ αὐτὰ μὲν καθ' ἑαυτὰ οὐ δύναται ὑποστῆναι, ἀλλὰ πάντως ἢ ἀλγηδόνες, ἢ σὺν ψιμυθίῳ, ἢ σὺν γάλακτι σώμασιν οὖσιν ὑφέστηκε, ὁμοίως καὶ τὰ ἄλλα· ὅσα οὖν ἐστιν αὐτὰ καθ' ἑαυτὰ ὑποστῆναι δυνάμενα, καὶ μὴ δεόμενα πρὸς τὸ ὑποστῆναι ἄλλου τινὸς, οὐσίαι λέγονται· οἷον, ἄνθρωποι, ψυχαὶ, λίθοι, καὶ ὅσα τοιαῦτα· ἀφῆλθον οὖν ὡς εἴρηται ἐπί τινα κοινότητα τὴν οὐσίαν. Ἆρα οὖν πάντα τὰ ὄντα ἡ οὐσία περιλαμβάνει, ἐπεὶ δὲ πάντων τῶν ὄντων ὧν ἡμῶν ὑπάρχῃ ὁ φιλόσοφος εἶναι, οὐδαμῶς. Πάλιν χαρίεν δύο που τινά, καὶ δύο, καὶ ποσὸν, ὅπερ ἀφήκαμεν ἐπί τι κοινὸν γένος, τὸν ἀριθμὸν

μὲν ἄλλως, οὐδὲ δὲ ἑτέρως, ὥσπερ τὰ μερικά, ἄλλη γὰρ φύσις ἡ τοῦ βαλίου ἵππου, καὶ ἄλλη ἡ τοῦ ξανθοῦ, ὥσπερ ἄλλη φύσις πλάτωνος, καὶ ἄλλη ἀλκιβιάδου. ὁ δὲ καθόλου ἄνθρωπος, καὶ ὁ καθόλου ἵππος ἀεὶ ὡσαύτως ἔχει. πᾶς γὰρ ἵππος, ζῷον ἐστὶ πεπραμένον χρεμετιστικόν. καὶ πάλιν, πᾶς ἄνθρωπος, ζῷον λογικὸν θνητόν. ὁμοίως δὲ καὶ ὦ κύνες, καὶ ὦ τῶν ἄλλων εἰδῶν τοῦ ζῴου. θεασάμενοι οὖν ταῦτα τὰ εἴδη, εἰ καὶ πεπράσμεθα, ἀλλ' οὖν τῇ ἀνθρωπίνῃ διανοίᾳ ἀνεπίληπτα, καὶ ἀπερίληπτα, οὐδὲν γὰρ θαυμαστὸν πολλὰ ἡμῖν εἶναι ἄγνωστα ζῷα. ἀνήλαγον ἑαυτοὺς ἐπί τινα κοινότητα τὴν τοῦ ζῴου πρὸς ἐκτικὸν πάντων τῶν κατὰ μέρος. καὶ γὰρ καὶ ὁ ἄνθρωπος ζῷον, καὶ ὁ ἵππος, καὶ ὁ κύων. καὶ τὰ ἄλλα καθόλου ζῷα οὐδὲν διαφέρει, πάντα οὐσίαν ἔμψυχος αἰσθητικὴν ὑπάρχοντα. ὁ οὖν ἐγνωκὼς τί ποτέ ἐστι τὸ ζῷον, ἴσως ἐγνωκὼς πάντα τὰ ζῷα. πάλιν ἀπὸ τῆς δὲ τῆς συκῆς, ἢ τῆς δὲ τῆς πλατάνου, ἢ τῆς δὲ τῆς ἀμπέλου, ἀνήλαγον ἑαυτοὺς ὦ τὴν καθόλου συκῆν, καὶ πλάτανον, καὶ ἄμπελον. ὁμοίως δὲ καὶ ὦ τῶν ἄλλων φυτῶν. πάλιν ταῦτα καὶ τὰ ἄλλα, ὦ τὸ κοινὸν γένος ἀνήλαγον, τὸ φυτὸν, πρὸ ἐχον τὰ κατὰ μέρος φυτά. ἔχομεν οὖν δύο κοινότητες, τήν τε τοῦ ζῴου, καὶ τοῦ φυτοῦ. Πάλιν τὸ, τὸ ζῷον, καὶ τὸ φυτὸν, ἀνήλαγον εἰς τὸ ἔμψυχον. καὶ γὰρ τὸ φυτὸν, ἔμψυχόν ἐστιν. αὔξεται γὰρ καὶ τρέφεται, καὶ γεννᾷ ὅμοιον ἑαυτῷ. ἐπειδὴ δὲ τῷ ἐμψύχῳ ἀντίκειται τὸ ἄψυχον, ἄψυχον δέ ἐστι τὸ μὴ μετέχον ψυχῆς, οἷον, λίθος, ξύλα, καὶ τὰ τούτοις παραπλήσια, πολλὰ δὲ ἐστι ταῦτα καὶ τοῖς κατὰ μέρος καὶ ἄπειρα, διὰ τοῦτο πάλιν ἀπὸ τῶν κατὰ μέρος λίθων, ἀνήλαγεν ἑαυτοὺς ὦ τὸν καθόλου λίθον. καὶ ἀπὸ τῶν κατὰ μέρος ξύλων, ὦ τὰ καθόλου ξύλα. καὶ ἀπὸ τῶν λοιπῶν τῶν τοιούτων ὁμοίως. καὶ ἀπὸ

Digitized by Google

πρὸς αὐτὰς ἐρέειν: ὅτι τοιοῦτον ἀγαθὸν, οὔτ' ἦλθεν εἰς ἀνθρώπους, οὔθ' ἥξει ποτέ. τοσαῦτα μὲν κοινῶς πρὸς φιλοσοφίας ἐρρήθω. ἰδίᾳ δὲ πρὸς τοῦ προκειμένου βιβλίου λέγομεν ταῦτα. Εἴρηται ὅτι ἡ φιλοσοφία, γνῶσις πάντων τῶν ὄντων ἢ ὄντως ἐστὶν. ἐζήτησαν οὖν οἱ φιλόσοφοι, τίνα αὐτρόπον γινώσκονται τὰ ὄντων ὠστήμονες. καὶ ἐπειδὴ εἶδον τὰ κατὰ μέρος γινόμενα καὶ φθειρόμενα ὄντα, ἴσμεν δὲ καὶ ἄπειρα, ἃ δὲ ὠστήμη ἀϊδίων τε καὶ πεπερασμένων ἐστὶ γνῶσις, τὸ γὰρ γνωσὸν βούλεται ὑπὸ τῆς γνώσεως περιλαμβάνεσθαι, τὸ δὲ ἄπειρον ἀπορίλειπον, ἀνήγαγον ἑαυτοὺς ἀπὸ τῶν μερικῶν ὠὶ τὰ καθόλου, ἀϊδία ὄντα καὶ πεπερασμένα. ὡς γὰρ φησιν ὁ πλάτων, ὠστήμη εἴρηται, παρὰ τὸ εἰς ἐπίστασιν ἡμᾶς καὶ ὅρον τινὰ προάγειν τῶν πραγμάτων. τοῦτο δὲ περιζόμεθα διὰ τῆς εἰς τὰ καθόλου ἀναδρομῆς. ἀϊδιον οὖν ἀπὸ τῶν κατὰ μέρος ἀνθρώπων, ὠὶ τὸν καθόλου ἄνθρωπον. οὐ προτίθενται γὰρ οἱ φιλόσοφοι πόσοι εἰσὶν ἐν τῷ κόσμῳ ἄνθρωποι, γνῶναι, ἀλλὰ τίς ἡ φύσις τοῦ ἀνθρώπου, ὅτι ζῶον λογικὸν ὑγκρίνον ἐστίν. ὁ γὰρ τοῦτο ἐγνωκὼς, ἴσισπαι καὶ πάντας τοὺς ἐν τῷ κόσμῳ ἀνθρώπους. καὶ οὐ νῦν γνωσομένους, καὶ οὐ αὖθις ἐσομένους: οὕτως οὖν ἀπὸ τῶν κατὰ μέρος ἀνθρώπων ἀνήγαγον ἑαυτοὺς ἐς τινα κοινότητα τὴν τοῦ ἀνθρώπου: πάλιν ἀπὸ τῶν κατὰ μέρος ἵππων ἐπὶ τινα κοινότητα τῶν τοῦ ἵππου, πολεμικῶν παόντων τῶν κατὰ μέρος ἵππων, ἐρωτῶντες, ὅτι ἵππος ἐστὶ ζῶον τετράπουν χρεμετικόν. οὐ γὰρ οὐ κατὰ μέρος ἵππους βούλεται γνῶναι ὁ φιλόσοφος, ὅσον, τίς ὁ ξάνθος, καὶ τίς ὁ βαλίας, ἀλλὰ τίς ὁ καθόλου ἵππος. τὰ γὰρ καθόλου ἀεὶ ὡσαύτως ἔχουσι, καὶ θυγῶν

νουπας. οὐ μόνον δὲ ἐν τῷ οἰκονομικῷ ταῦτα θεωρεῖται, ἀλλὰ καὶ ἐν τῷ ἠθικῷ. καὶ γὰρ ὁ ἠθικὸς ἑαυτῷ νόμους τίθησιν, ὅταν λέγῃ· Κρατεῖν δ' ἐαυτοῦ δεῖ· χαίρειν μὴ πρὸς πίστα, καὶ ὕπνου, λαγνείης τε· καὶ πάλιν· ὅταν ἰσοκράτης λέγῃ· Τοὺς μὲν θεοὺς φοβοῦ· τοὺς δὲ γονεῖς τίμα· τοὺς δὲ φίλους ἀσχύνου. οὗτοι γὰρ ἠθικοὶ νόμοι τε καὶ λόγοι ὑπάρχουσι· καὶ δικάζει τὰ αὐτὰ ὅτε φησί· Μὴ δ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι, πρὶν τὰ ἡμερινὰ ἔργα τρὶς ἕκαστον ἐπελθεῖν· πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; ἀρξάμενος δ' ἀπὸ πρώτου, ἐπέξιθι καὶ μετάπεσα· θελὰ μὲν ἐκπρήξας, ὧν πλήμμελες· χρησὰ δὲ, τέρπου· καὶ πρὸς μὲν τοῦ οἰκονομικοῦ καὶ πολιτικοῦ κατὰ τὸν οἰκεῖον καιρὸν εἰρήσεται· Νῦν δὲ πρὸς τῆς τοῦ ἠθικοῦ διαιρέσεως δεῖ ἐπᾶναι· καὶ πρῶτόν γε, τί ἐστιν ἦθος· ἦθος τοίνυν ἐστὶν, ἀνθρώπου κόσμος· κόσμος δὲ, ἢ ἑκάστου τελειότης; ἢ διὰ τῆς τῶν ἀκροωτηρίων διαιρέσεως, ἣν ὁμοῦ παρατηρήσεως κατορθοῦται, τῆς τε ὑπεροχῆς, καὶ τῆς ἐνδείας· ἀκοσμία γὰρ, ὅ, τε πλεονασμὸς, καὶ ἡ ἔλλειψις· καὶ γὰρ ἐνίοτε τὶς ἄκοσμον τὸν ἄνθρωπον ἐνδείᾳ πυὸς μορίου, οἷον χειρὸς, ἢ ἑτέρου, ἔνιοι δ' αὖ ἄκοσμον καὶ τὸν πολυπόδαντα μορίοις τισὶ τοῦ ἀνεδεοῦς· οἷον, ἑξαδάκτυλον, ἢ ἑξάχειρα, ὡς ἔστι κατὰ ἀπολλώνιον τὸν ποιητὴν γίγαντας· οὐκοῦν ἀκοσμία, ἥτε ὑπεροχὴ, καὶ ἡ ἔλλειψις· αἱ δὲ ἀκοσμίαι, ἀτελεῖς εἰσι· τὸ γὰρ ἐναντίον ταύτης, ὁ κόσμος· τελειότης ἄρα ἐκ τῆς παρατηρήσεως ἐστὶ, τοῦτε πλεονασμοῦ καὶ τῆς ἐνδείας, ἅπερ ἐστὶν ἀτέλειαι· τελειότης γὰρ, ἐναντίον τῇ ἀτελείᾳ· τὰ δὲ ἐναντία διὰ τῆς τ' ἐναντίων παρατηρήσεως κατορθοῦται· Ἐμάθομεν τοίνυν τί ἐστι φιλοσοφία, καὶ ποῖα αὐτῆς τὰ μέρη· θέλω τοίνυν ἐπὶ καὶ ἐφεξῆς· καὶ καλῶς

ἓν ἐστι γνῶσις ποσοῦ καθ' αὐτὸ διωρισμένου. ποσὸν δὲ διωρισμένον πρὸς ἕτερον, ἐστιν ἡ σχέσις ἡ πρὸς ἄλληλα τῶν τόνων, πότε οὖς ἡ ἁρμονία καταγίνεται, ἢ διαριθμοῦ γνωρίζομεν, πότε ἢ καταγίνεται ἡ μουσική. καὶ ἐστιν ἡ μουσικὴ γνῶσις ποσοῦ διωρισμένου, σχέσιν ἐχόντος ἑτέρου πρὸς ἕτερον. δέδεικται οὖν ἡ μουσικὴ καὶ ἀριθμητική, ὅτι πρὸς τὸ διωρισμένον ποσὸν καταγίνονται. διωρισμένον δέ ἐστιν, οὗ τὰ μόρια καθ' αὐτὰ θεωρῆται, ὡς μὴ συμφέλκεσθαι ἄλλήλοις. εἰς πόσα μὲν οὖν καὶ τίνα τὸ θεωρητικὸν διαιρεῖται, καὶ τί ἔχει πέρας, ἐκ τῶν εἰρημένων δῆλον. Ἐπεὶ δὲ καὶ τὸ πρακτικὸν μέρος τῆς φιλοσοφίας εἰρήκαμεν, ἀναγκαῖον καὶ τοῦτο διελεῖν. διαιρεῖται τοίνυν τὸ πρακτικὸν, εἵς τε τὸ ἠθικὸν, καὶ οἰκονομικὸν, καὶ πολιτικόν. ὁ γὰρ πράττων τι ἀγαθὸν, ἢ εἰς ἑαυτὸν πράττει κοσμῶν αὐτοῦ τὸ ἦθος, καὶ λέγεται ἠθικὸς, ἢ εἰς τὸν ἑαυτοῦ οἶκον, καὶ λέγεται οἰκονομικός, ἢ τὴν ὅλως κοσμεῖ πόλιν, καὶ λέγεται πολιτικός. τινὲς δέφασιν, ὅτι ὁ πολιτικὸς, καὶ ἠθικὸς λέγεται, καὶ οἰκονομικός. ὁ γὰρ πόλιν ὅλην δυνάμενος κοσμῆσαι, πολλῷ μᾶλλον καὶ ἑαυτὸν καὶ τὸν οἶκον αὐτοῦ, καὶ εἰς ταῦτον ἄγουσι τῷ πρακτικῷ, τὸ πολιτικόν. πρὸς οὓς ἐροῦμεν. ὅτι πολλοί τινες κενοδοξίᾳ κρατούμενοι, τὴν μὲν πόλιν κοσμοῦσιν, ἑαυτῶν δὲ καταφρονοῦσιν. ὥς τε δῆρηται τὰ εἰρημένα τρία τὸ πρακτικοῦ εἴδη ἀπ' ἀλλήλων. τοῦτων δ' ἕκαστον διαιροῦσιν εἵς τε τὸ νομοθετικὸν, καὶ δικαστικόν. ὁ γὰρ πολιτικὸς φιλόσοφος καὶ νόμους τίθησι καθ' οὓς δεῖ ζῆν αὐτὸν ἐν τῇ πόλει, καὶ δικάζει, καὶ αὐτὸς μὲν, χερῶν ἀξιοῖ, αὐτὸν δὲ, παρατρέψαντας τι τῶν κειμένων νόμων κολάζειν. εἰδέναι δὲ χρὴ, ὅτι καὶ ἐν τῷ οἰκονομικῷ θεωρεῖται τὸ νομοθετεῖν καὶ κολάζειν. καὶ γὰρ ἐν τῷ οἴκῳ νόμους τίθεμεν, καὶ δικάζομεν τῶν οἰκετῶν, ἢ τῶν υἱῶν τὰ παραβάλ-

φέρεται δὲ καὶ ἱστορία τοιαύτη, ὅτι πυθαγόρας ἑωρακὼς πα-
νάνιον αὐλητρίαν ἕκλυτον μέλος αὐλοῦσαν ἐπόμενον, κελεῦ-
σαι αὐτῷ ῥιφασαν τὸν αὐλὸν αὐλῆσαι, καὶ τοῦτον γενο-
μένου, παῦσαι τοῦ νέου τὴν ὠθυμίαν. ὥστε οὐ δεῖ ἀπιστεῖν
τοῖς λεγομένοις περὶ τῆς θέας μουσικῆς. Διὰ τοῦτο καὶ ὁ
θεῖος πλάτων παρακελεύεται τοῖς νέοις, καὶ διὰ μουσικῆς,
καὶ διὰ γυμναστικῆς ἴσασι, ἵνα, διὰ μὲν τῆς μουσικῆς τὴν
ψυχὴν τῷ κοσμῶσι, διὰ δὲ τοῦ γυμνασίου, τὸ σῶμα. Ἡ
δὲ ἀστρονομία καταγίνεται περὶ τὰς ἐποχὰς τῶν ἀστέρων.
διὰ τί δὲ εἰς τέσσαρα διαιρεῖται μαθηματική, καὶ μὴ εἰς
πλείονα ἢ ἐλάττονα, νῦν λέγωμεν. Ἰστέον, ὅτι τὸ μαθη-
ματικὸν περὶ τὸ ποσὸν καταγίνεται. τοῦ δὲ ποσοῦ, τὸ μὲν,
ἐστὶ συνεχές, τὸ δὲ, διωρισμένον. διαιρεῖται δὲ τούτου ἕκά-
τερον, εἰς δύο. τὸ μὲν συνεχὲς, εἰς κινητὸν καὶ ἀκίνητον.
τοῦ κινητοῦ πάλιν, τὸ μὲν ἀκίνητον, τὸ δὲ, οὐκ ἀκίνητον.
τὸ δὲ διωρισμένον ποσὸν εἰς τὸ καθ' αὑτὸ, καὶ εἰς τὸ πρός τι.
καὶ ποσὸν συνεχὲς ἀκίνητον ἔστιν ἡ γῆ, περὶ ἣν καταγίνεται
ἡ γεωμετρία. ἔστι δὲ ἡ γεωμετρία, γνῶσις ποσοῦ συνε-
χοῦς ἀκινήτου κατὰ θέσιν. ποσὸν ἀκίνητον ἔστιν ὁ οὐρανός,
περὶ ὃν καταγίνεται ἡ ἀστρονομία. καὶ ἔστιν ἡ ἀστρονομία
γνῶσις ποσοῦ συνεχοῦς ἀκινήτου. καταγίνεται δὲ ἥ τε ἀστρο-
νομία καὶ ἡ γεωμετρία, περὶ ποσὸν συνεχές. συνεχὲς δέ
ἐστιν, οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει. ἐλέγο-
μεν δὲ καὶ τοῦ διωρισμένου ποσοῦ, τὸ μὲν, εἶναι καθ' αὑ-
τό. τὸ δὲ, πρός τι. ποσὸν διωρισμένον καθ' αὑτό ἐστιν ὁ ἀριθ-
μός, ὅταν αὐτὸν καθ' ἑαυτὸν σκοπῶμεν. οἷον, τὸν ἀρτιά-
κις ἄρτιον, ἢ τὸν περισσάκις περισσὸν ἀριθμὸν, καὶ μὴ τὴν πρὸς ἕ-
τερον αὐτοῦ σχέσιν κατὰ συμβεβηκός. τοῦτο γὰρ μουσι-
κῆς. καταγίνεται οὖν περὶ τοῦτο ποσὸν διωρισμένον καθ'
αὑτό ἐστιν, ὁ ἀριθμὸς ἐπ' αὐτῷ σκοπούμενος. ἡ ἀριθμητικὴ

οὖν ἐστ

ως. ἐὰν γὰρ βουληθῶμεν αὐθις ἀπὸ τῶν φυσιολογικῶν ἐπὶ θεολογίαν ἀμέσως ἑαυτοὺς ἀναγαγεῖν, τυφλώττομεν, καθάπερ οἱ ἐκ σκοτεινοτάτου οἴκου εἰς πεφωτισμένων ἀμέσως ἐξερχόμενοι. δεῖ γὰρ πρότερον ἐν οἴκῳ διατρίβειν ἐχοντι σύμμετρον φῶς, εἶθ' οὕτως ἐλθεῖν εἰς τὸν φωτεινότατον τοῦτον. οὕτως οὖν μετὰ τὰ φυσικὰ δεῖ διατρίψαντας ἐν τοῖς μαθήμασιν, ἀνάγεσθαι ἐπὶ θεολογίαν. κλίμαξ γάρ τις καὶ πρόφυρα ἐστὶ τὰ μαθήματα, κοινωνοῦντα μὲν τοῖς φυσικοῖς καθὸ ἀχώριστα, τοῖς δὲ θείοις, καθὸ χωριστά. καὶ τὸ φυσιολογικὸν μὲν οὖν καὶ τὸ θεολογικὸν, ὑποδιαιρέσεις τυγχάνει δέχονται. ἀλλὰ τὰς μὲν τούτων ὑποδιαιρέσεις ὡς ἀσυμμέτρους οὔσας, εἰσαγωγικὰς ἀγωγὰς σιωπήσωμεν. τὸ δὲ μαθηματικὸν διαιρεῖται εἰς τέτταρα, εἰς γεωμετρίαν, ἁρμονίαν, μουσικὴν, καὶ ἀριθμητικήν. καὶ ἡ μὲν ἀριθμητικὴ, τοὺς ἀριθμοὺς ἐπισκέπτεται. ἐπὶ δὲ θεᾶς τὰς ἀριθμητικὰς θεωρήματα. οὐ γὰρ τὸν λεγόμενον ἀριθμὸν παρὰ τοῖς ἰδιώταις, καθ' ὃν ἀπαριθμοῦμεν, θεωρεῖ ἡ ἀριθμητική, ἀλλὰ τὰ εἴδη τοῦ ἀριθμοῦ, καὶ ὁ ποῖαν σχέσιν ἔχει πρὸς ἄλληλα, οἷον, ὁ ἕκτος πρὸς τὸν τρίτον τὴν διπλασίων ἔχει λόγον, καὶ ὁ ἔννατος πρὸς τὸν ἕκτον τὸν ἡμιόλιον. ἐπὶ γεωμῶ καὶ τὰς γενέσεις τῶν ἀριθμῶν, τοῦ τε ἀρτίου, καὶ τοῦ περιττοῦ, καὶ περισσαρτίου, καὶ ἄλλα πολλὰ τῶν τοιούτων ἐπισκέπτεται. Ἡ δὲ γεωμετρία τὰ μεγέθη καὶ τὰ σχήματα. Ἡ δὲ μουσικὴ τὰς τῶν χορδῶν συμφωνίας. ἐπιτηδεύει δὲ καὶ πινακίδα μέλη καὶ μιμήσεις τὰ τῆς ψυχῆς πάθη, διεξιέρουσα δὲ αὐτὰ ἐπ' ἀρετῶ. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δηλοῖ τὸ ἐπισωζόμενα ἔχειν, καὶ οἷον ἀποπώσεις τῆς μουσικῆς. ἀκούοντες γὰρ σάλπιγγος θυμικώτερον διατιθέμεθα. καὶ διὰ τοῦτο τὸ ἐν τοῖς πολέμοις ἡ σάλπιγξ ἐπιτηδεύεται, ἀκούοντες δὲ θεατρικῶν μελῶν ἐκλυτώτερον διακείμεθα τὰς ψυχάς.

Digitized by Google

ἡμετέρα, καὶ ἔχομεν παρ' ἑαυτοῖς δίχα τῆς ὕλης, ὥσπερ
ἐπὶ κηροῦ λάβοι τὸ ἐκτύπωμα τοῦ δακτυλίου, μὴ προσ-
λαβὼν τί τῆς ὕλης, κατὰ τοῦτο χωριστὰ ἐστὶ τῆς ὕλης,
καθὸ τῇ ὑπονοίᾳ χωρίζεται. ἐπεὶ οὖν τῶν ὄντων τὰ μὲν ἐστὶ
παντάπασι χωριστὰ, τὰ δὲ παντάπασιν ἀχώριστα, τὰ δὲ
κατά τι μὲν χωριστὰ, κατὰ τί δὲ ἀχώριστα, εἰκότως τὸ θεω-
ρητικὸν διαιρεῖται εἰς θεολογικὸν, μαθηματικὸν, καὶ φυσιο-
λογικόν. τὰ μὲν γὰρ παντάπασι χωριστὰ ἀπονέμουσι τῷ
θεολογικῷ μέρει· τὰ δὲ παντάπασιν ἀχώριστα, τῷ φυσιο-
λογικῷ, τὰ δὲ κατά τι μὲν χωριστὰ, κατὰ τί δὲ ἀχώριστα,
τῷ μαθηματικῷ. ὅτι δὲ τὰ μὲν σύλα εἴδη παντάπασιν
ἐστὶν ἀχώριστα τῆς ὕλης, τὰ δὲ μαθηματικὰ χωριστὰ, δῆλον
ἐκ τῶν ὁρισμῶν· κύκλου γὰρ ὁριζόμενοι οὐδεμίαν ὕλην πα-
ραλαμβάνομεν, λέγοντες· κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑ-
πὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου
τῶν ἐντὸς τοῦ σχήματος κειμένων, πᾶσαι αἱ προσπίπτου-
σαι εὐθεῖαι πρὸς τὴν τοῦ κύκλου περιφέρειαν ἴσαι ἀλλή-
λαις εἰσίν· ὅτι δὲ ὁριζόμενοι οὐδεμίαν ὕλην παραλαμβάνο-
μεν ὁρίζεσθαι· φαμὲν γοῦν ὅτι οἶκος ἐστὶ σκέπασμα ὄμβρων τε
καὶ καυμάτων κωλυτικὸν, ἐκ λίθων καὶ ξύλων· εἰ γὰρ μὴ προ-
θῶμεν τὴν ὕλην, οὐ δυνατὸν καὶ σκηνὴν καὶ ἑτέραν τοιαύ-
την σκέπην νοῆσαι· μέσον δέ ἐστι τὸ μαθηματικὸν εἰκότως·
ἐπεὶ γὰρ οὐ δυνάμεθα ἀμέσως ἀπὸ τῶν φυσικῶν ὧν τὰ
θεῖα ἀναβαίνεσθαι, καὶ ἀπὸ τῶν παντάπασιν ἀχωρίστων τῆς
ὕλης ὧν τὰ παντάπασι χωριστὰ, διὰ τῶν μαθηματικῶν ὁ-
δεύομεν· τῶν κατά τι μὲν χωριστῶν, κατά τι δὲ ἀχωρί-
στων· διὰ τοῦτο γὰρ καὶ μαθήματα λέγονται, ὅτι δεῖ ταῦτα
μανθάνοντας, καὶ εἰδωλοποιοῦντας νοῆσαι ἀσωμάτους, ἀναβαίνεσθαι
ὧν τὰ θεῖα· καὶ γὰρ ὁ θεῖος φησι Πλωτῖνος· Παραδοτέον τοῖς
νέοις τὰ μαθήματα, πρὸς σωτήριον τὸ ἀσωμάτου φύσει

ἐνδεχόμενας, τὰς μὲν γνωστικὰς τῶν ὄντων πάντων, τὰς δὲ προνοητικὰς τ καταδεεστέρων, ἐκ τούτου ἡ φιλοσοφία διαιρεῖται εἰς θεωρητικὸν, καὶ πρακτικόν. διὰ μὲν τοῦ θεωρητικοῦ γινώσκομεν τὰ ὄντα, διὰ δὲ τοῦ πρακτικοῦ προνοούμεθα τῶν καταδεεστέρων. καὶ οὕτως ἐξομοιούμεν ἑαυτοὺς τῷ θεῷ. πάλιν δὲ τῆς ἡμετέρας ψυχῆς δυνάμεις ἐνδέχεται, αἱ μὲν γνωστικαὶ οἷον, νοῦς, δόξα, αἴσθησις, φαντασία, διάνοια, αἱ δὲ ζωτικαὶ καὶ ὀρεκτικαὶ, οἷον, βούλησις, προαίρεσις, θυμὸς, καὶ ἐπιθυμία. Ὁ οὖν φιλόσοφος πάντα τὰ τῆς ψυχῆς μέρη βούλεται κοσμῆσαι, καὶ εἰς τελείωσιν ἀγαγεῖν. διὰ μὲν οὖν τοῦ θεωρητικοῦ πληροῦται τὸ σὺν ὑμῖν γνωστικὸν, διὰ δὲ τοῦ πρακτικοῦ τὸ ζωτικόν. ἐκ τούτου οὖν ἡ φιλοσοφία διαιρεῖται εἰς δύο, εἴς τε θεωρητικὸν, καὶ πρακτικόν. Πάλιν τὸ θεωρητικὸν διαιρεῖται εἰς τρία, εἰς θεολογικὸν, καὶ μαθηματικὸν, καὶ φυσιολογικόν. καὶ τοῦτο ἐκ τούτου. ἐπειδὴ γὰρ πάντα τὰ ὄντα βούλεται θεωρεῖν ὁ φιλόσοφος, τῶν δὲ ὄντων πάντων τρεῖς εἰσὶ τάξεις; τὰ μὲν γὰρ τῶν πραγμάτων πάντα πάσιν ἐστὶ χωρίστα τῆς ὕλης, καὶ τῇ ὑποστάσει, καὶ τῇ πρὸς αὐτῶν ἐπινοίᾳ, οἷα ἐστὶ τὰ θεῖα: τὰ δὲ, πάντα πᾶσιν ἀχώριστα τῆς ὕλης, καὶ τῇ ὑποστάσει, καὶ τῇ πρὸς αὐτῶν ἐπινοίᾳ, οἷα ἐστὶ τὰ φυσικὰ καὶ σύνολα εἴδη, οἷον, ξύλου, καὶ ὀστοῦ, καὶ σαρκὸς, καὶ πάντα ἁπλῶς τὰ σώματα, ταῦτα δὲ φυσικὰ καλοῦμεν, ὡς ὑπὸ φύσεως δημιουργούμενα προσεχῶς: τὰ δὲ μέσα τούτων ὄντα, κατά τι μὲν ἐστι χώριστα, κατὰ τὴν δὲ ἀχώριστα, οἷα ἐστὶ τὰ μαθηματικὰ, κύκλος μὲν γάρ, καὶ τρίγωνον, καὶ τὰ τοιαῦτα, καθ' ἑαυτὰ ὑποστῆναι δίχα ὕλης τινὸς οὐ δυνάμενα, καὶ διὰ τοῦτο ἀχώριστα ἐστὶ τῆς ὕλης: ἐπειδὴ δὲ θεασάμεθα κύκλον ξύλινον, καὶ χαλκοῦν, καὶ λίθινον, ἀφελόμενοι ἐξάμεθα τὸ εἶδος αὐτοῦ τοῦ κύκλου σὺν τῇ διανοίᾳ τῇ

θηκαν. Τὸ δὲ φυσιολογικὸν, ὡς μὲν πρὸς ἡμᾶς, πρῶτον, οὐ γὰρ ἂν γνοίημεν τὴν νοητὴν οὐσίαν πρὸ τῆς αἰσθητῆς· ὡς δὲ πρὸς τὸ ἀληθὲς, ἔσχατον, ἐσχάτη γὰρ οὐσία, ἡ ἔνυλος, διὸ καὶ τὴν ἐσχάτην ἥλιφε τάξιν. Μέσον δὲ τούτων τὸ μαθηματικὸν, ἐπειδὴ καὶ κατὰ φύσιν μέσῳ ἔχει τάξιν. τοῦτο δέ τινες τὴν πάλαι προὐταξαν τοῦ φυσιολογικοῦ. οἱ μὲν κατὰ πλάτωνα, ἵνα φασὶ τὰς ἰδέας ἐν τῇ ψυχῇ ἤδη ἀποκειμένας ἐπιγινώσκωμεν, ἤτοι ἀναμιμνησκώμεθα τὰ ἐν τοῖς καθ' ἕκαστον θεωρούμενα, ὅθεν τινὲς τῇ κλίμακι τῷ μαθηματικῷ χρώμενοι. οἱ δὲ κατὰ ἀριστοτέλη, τὴν μέσην τάξιν αὐτῷ ἀπενείμαντο, βουλόμενοι ἡμᾶς ἐθίζειν ἀπὸ τῆς σύνολου οὐσίας γινώσκειν τὴν νοητήν. ἥπερ ἐπὶ μὲν ὁράτος, πλέονα δὲ ἔχει καὶ σαφεστέραν τὴν ὑπόστασιν, ἢ κατὰ ὕλην. τῇ γὰρ αὐτῇ βάσει τὴν γραμμὴν, ἐν τῇ ὕλῃ μανθάνομεν, οὐχ ὅπως τὴν ὕλην, ἢ τὸ κηρὸν ἢ τὸ χαλκὸν γνοίημεν, ἀλλ' ἵνα ἀποσυλήσαντες αὐτὴν, ἀποβώμεθα εἰς τὸν νοῦν σαφῆ βεβαιοτέραν ὁρῶμεν αὐτῆς τὴν ὑπόστασιν. ὅπ ἢ οὐ κοινωνεῖ τῷ κηρῷ κατὰ τὴν οὐσίαν τὸ σχῆμα, οἷον ἡ γραμμὴ, ἢ τὸ τρίγωνον, αὐτόθεν δῆλον. Ἰσέον γοῦν, αὐτὴν καὶ τριγώνου σχήματος μεταβληθέντος, ἀφαιρεθήσης τῆς μιᾶς πλευρᾶς, οὐ συμμεταβάλλεται ὁ κηρός. καίτοι ἐκοινώνει κατὰ τὴν οὐσίαν, ἔδει συμμεταβάλλεσθαι. Διαιρεῖται σωῒ ἡ φιλοσοφία ὡς ἤδη εἴρηται, εἰς τε θεωρητικὸν, καὶ πρακτικόν. ἄξιον δὲ ἐπιζητῆσαι, διὰ τίν' αἰτίαν εἰς δύο, καὶ διὰ τί εἰς ταῦτα διαιρεῖται, καὶ μή τε εἰς πλείονα, μή τε εἰς ἐλάττονα. καὶ εἰς ἐλάττονα μὲν ἀδύνατον ἵν' ποιήσαι τὴν διαίρεσιν. οὐ δὲ γὰρ ἂν τὸ ἓν εἰς ἓν διαιρεθείη. διὰ τί δῶ μὴ εἰς πλείονα, ἀλλ' εἰς δύο; τούτου δὲ αἰτίαι δύο εἰσίν. ἐπειδὴ γὰρ ἐλέγομεν τὴν φιλοσοφίαν ὁμοίωσιν εἶναι θεοῦ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ὁ δὲ θεὸς δύ' ἔχει τὰς

φυσικῶν θεωρίαν ἀσκοῦντας, φιλοσόφους, οἱονεὶ φιλοῦντας τὴν σοφὸν, ὃπερ ἐξίουν καλεῖν τὸν θεὸν, τὴν δὲ τούτων γνῶσιν, καθ' ἁλόγως φιλοσοφίαν ὠνόμαζε. ταῦτα πυθόμενος. Εἰσὶ δὲ καὶ ἄλλοι τῆς φιλοσοφίας ὁρισμοί· ἀρκοῦσι δὲ καὶ οὗτοι. Ἐπειδὴ δὲ παν πρᾶγμα, ἤτε διαιρετὸν ἐστιν, ἤτε ἀδιαίρετον, καὶ ἀνάγκη ἡμᾶς εἰπεῖν, πότερον ἡ φιλοσοφία διαιρετὴ ἐστιν, ἢ οὔ, πρὸ δὲ τούτων, δίκαιον ἐστιν εἰπεῖν, τί ὅλως ἐστὶ διαίρεσις, καὶ τί ὑποδιαίρεσις, καὶ τί ὑποδιαίρεσις. τὰ γὰρ πρὸ τοῦ διαιρέσεως διαλεγόμενον χρὴ πρότερον εἰπεῖν ὅ, τί ποτέ ἐστι τούτων ἕκαστον. Ἔστι μὲν οὖν διαίρεσις, ἡ κατὰ πρώτην ὑποβολὴν τομὴ τοῦ πράγματος. Ἐπιδιαίρεσις δ', ἡ κατὰ δευτέραν ὑποβολὴν τομή· οἷον, κατὰ πρώτην ὑποβολὴν τέμνω τὸ ζῶον εἰς λογικὸν, καὶ ἄλογον· τοῦτο διαίρεσις. κατὰ δὲ δευτέραν, εἴς τε τὸ ἥμερον, καὶ ὑποχθόνιον, ἢ τὸ θνητὸν καὶ ἀθάνατον· τοῦτο ἐστὶν ὑποδιαίρεσις. μόνη δὲ τῇ τάξει διαφέρει ἀλλήλων. Ὑποδιαίρεσις δέ ἐστιν, ἡ τοῦ διαιρεθέντος ἤδη πράγματος τοῦ μέρους, ἤτοι ἤδους τὸ μὴ· εἶδος δὲ λέγω νῦν, τὸ ὑπὸ ἀλλήλων, οἷον, ὅτι τοῦ ἐπιπέδου τὸ μὲν, ἐστὶν ἀπλανές· τὸ δὲ, πλανώμενον· τὸ γὰρ ἐπιπέδιον, εἶδος ὂν τοῦ ζώου, τοῦτο δὲ ὑποδιήλθομεν εἴς τε τὸ ἀπλανές, καὶ τὸ πλανώμενον· διδαξάντων οὖν ἡμῶν τί ἐστι διαίρεσις, καὶ τί ὑποδιαίρεσις, καὶ τί ὑποδιαίρεσις, ἀκόλουθον καὶ πρὸς τὰ τῆς φιλοσοφίας διαιρέσεως εἰπεῖν. Διαιρεῖται γάρ, ὡς ἀνωτάτω διείλεν ἐστὶ, κατὰ μὲν πᾶσα, εἰς δύο, εἰς θεωρητικὸν, καὶ πρακτικὸν, κατὰ δὲ ἑτέρους, εἰς τρία· καὶ γὰρ πολὺ εἰς τρία διαιροῦσι τὴν φιλοσοφίαν, εἰς θεωρητικὸν, πρακτικὸν, καὶ λογικόν. καθ' οὕτως ἔχει, ἢ μὴ, ἐσόμεθα, νῦν δὲ λέγωμεν πρὸς τὴν τριῶν εἰδῶν τοῦ θεωρητικοῦ· ἔστιν οὖν τῇ ἀληθείᾳ πρῶτον αὐτοῦ εἶδος τὸ θεολογικόν· ἀρχαὶ γὰρ πάντων τὰ θεῖα· διὸ καὶ οὐκ ἀκαίρως οἱ παλαιοὶ τοῦτο προσέ-

ἔστι δ' ὅτε καὶ διαιροῦσιν αὐτὸ, καὶ σχασμὸν τίθενται· ἀνάκυπτα δὲ ὅτι ταῦτα ἐστὶν ὅτε καὶ αὐτισπᾶται. Καὶ γραμματικὴ ὁμοίως. πρὸς γὰρ τόνους καὶ χρόνους κατακλίνεται· ἄπορ ἐστὶ μουσικῆς· ἡ δὲ μουσικὴ φιλοσοφίας ἐστὶ μέρος. Οὐ μόνον δὲ αἱ λογικαὶ τέχναι καὶ ἐπιστῆμαι δέονται φιλοσοφίας, ἀλλὰ καὶ αἱ βαναυσικαὶ λεγόμεναι τέχναι. ὁ γὰρ οἰκοδόμος τῇ καθέτῳ χρῆται πρὸς τὸ διακρίνειν, ἆρα ὀρθὸς ἐστὶν ὁ τοῖχος, ἢ οὔ, τίς μέντοι ἡ κάθετος, οὐκέτι οἶδεν. ὁ μέντοι φιλόσοφος οἶδεν οὐδὲν τῶν αἰτίων, ἐρεῖ γὰρ ὅτι πάντες τὸ βάρη αὐτοφυῶς ἐπὶ τὸ κέντρον φέρει. ὅθεν πρὸς ὀρθὰς γωνίας πάντα χώσει τὰ βάρη καταφέροντα, αἱ δὲ ὀρθαὶ γωνίαι, ἁπαρέγκλιτοί εἰσι· καὶ ὁ τέκτων δὲ πρὸς τὸ οὐδὲν ποήσει τὸ ξύλον τῇ καθέτῳ κέχρηται· τίς μέντοι ἡ τῆς οὐσίας φύσις, οὐκέτι οἶδεν· ἡ δὲ γεωμετρικὸν μέρος τε οὖσα καὶ αὐτὴ φιλοσοφίας, ἐρεῖ, εὐθεῖα γάρ ἐστιν, ἥτις ἐξ ἴσου τοῖς ἐφ' ἑαυτῆς σημείοις κεῖται· ὁμοίως δὲ πάσας τὰς ἄλλας ἐπιστήμας καὶ τέχνας ἀπὸ φιλοσοφίας τὰς ἀρχὰς ἐχούσας ἔστιν εὑρεῖν· ἔστιν οὖν ἡ φιλοσοφία τέχνη τεχνῶν, καὶ ἐπιστήμη ἐπιστημῶν. Ὁ μέντοι πυθαγόρας φησίν, ὅτι φιλοσοφία ἐστὶ φιλία σοφίας, πρῶτος τῷ παρὰ τοῖς παλαιοτέροις ἐπισὰς ἁμαρτήματι· ἐπεὶ καὶ ἐκεῖνος σοφὸν ὠνόμαζον τὴν πυθαγόραν μετιόντα τέχνην, ὧν εἷς ἦν καὶ
» ὁ ἀρχίλοχος, λέγων· Τρίαινα ἐθέλω, καὶ κυβερνήτης
» σοφός· καὶ ὁ ποιητής· Ἐπεὶ σοφὸς ἄρα τέκτων, καὶ, οὐ
» πάντας σοφίης ὑποθήσομαι ἀθήνης, μεθίστησι τὴν προσηγορίαν ταύτην ἀπὸ τοῦ θεοῦ, ὃς μόνος ἐκεῖνον καλεῖσθαι σοφὸν τὸν θεὸν, τὸν τῆς σοφίας τε καὶ τῆς τῶν ὄντων ἀϊδίου ἔχοντα γνῶσιν· ὁρᾶν δὲ τοῦ μὲν ῥητορικοῦ, τοῦ δὲ τοῦ γραμματικοῦ, τοῦ δὲ, τοῦ περὶ τὴν φυσικὴν ζήτησιν ἔχοντας, ἄλλος δ' αὖ πάλιν ἐφ' ἕτερα, προσαγορεύει τοῦτον τὸν τ

σα. τῶν γὰρ φιλοσόφων ἀποδεικνύντων τέτταρα εἶναι τὰ ἐν γενέσει σωμάτων τὰ στοιχεῖα, ταῦτα δὴ τὰ πολυθρύλλητα, καὶ ὅτι πλείονα, οὔτε ἐλάττονα, ἐκεῖνοι ὡμολογημένον τοῦτο λαμβάνοντες, ἐκ τούτων πρώτων στοιχείων τὰ πάντα συγκεῖσθαι φασὶ χυμούς, ἀναλόγως ἐκείνοις τοῖς πρώτοις στοιχείοις τούτους λαμβάνοντες. Β Ὁμοίως καὶ τῇ ῥητορικῇ ἡ φιλοσοφία τὰς ἀρχὰς διδώσιν. ἀναλόγως γὰρ τῇ τε ἐπαγωγῇ καὶ τῷ συλλογισμῷ, τὸ παράδειγμα καὶ τὸ ἐνθύμημα ὁ ῥήτωρ λαμβάνει. ὥσπερ γὰρ ὁ συλλογισμὸς ἀληθὴς ἐστίν, ἐπειδὴ ἔχει τὸ ἀναγκαῖον· οὕτω καὶ τὸ ἐνθύμημα ἀληθὲς βούλεται εἶναι, μιᾷ μέντοι προτάσει τοῦ συλλογισμοῦ λείπεται, ὅθεν καὶ συλλογισμὸς ἀτελὴς λέγεται. συλλογισμὸς δέ ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι. τὸν αὐτὸν δὲ τρόπον ἀναλογεῖ καὶ τῇ ἐπαγωγῇ τὸ παράδειγμα. ὥσπερ γὰρ ἐκείνη τὸ ὡς ἐπὶ πολὺ ἔχει, καὶ τὸ εἰκός, ὃ πάντως δὲ τὸ ἀληθές, ὅταν καὶ τὸ παράδειγμα. διαφέρει δὲ καὶ ταῦτα ἀλλήλων· ὅτι ἡ μὲν ἐπαγωγὴ, λόγος ἐστὶν ἀπὸ τῶν μερικῶν τὸ καθόλου πιστούμενος, οἷον, ῥητορικὴ καὶ νομοθετικὴ καὶ ἡ δεῖνα καὶ ἡ δεῖνα τέχναι ἔσαι, ὠφέλιμοί εἰσι τῷ βίῳ· τέχνη ἄρα οὖσα καὶ ἡ ἰατρικὴ, ὠφέλιμός ἐστι τῷ βίῳ· τὸ δὲ παράδειγμα, ἀπὸ τῶν μερικῶν τὸ ὡς μέρους πιστοῦται, καὶ τὸ ὡς χειρίμαστος δὲ ἐκεῖθεν λαμβάνει. πρὸ γὰρ τοπικῶν ὁ ἀριστοτέλης ἐν τῇ λογικῇ διήλεκται, καὶ ὅλως ῥητορικὰς τέχνας ἐπραγματεύσατο. οὐκοῦν καὶ ἡ ῥητορικὴ παρὰ τῆς φιλοσοφίας τὰς ἀρχὰς εἴληφε. ἄλλως τε καὶ ὁ ῥήτωρ κέχρηται τῷ δικαίῳ, καὶ τῷ καλῷ, καὶ τῷ συμφέροντι, οὐκ εἰδὼς πῶς ἢ ποῦ ποτε θεωρεῖται τὸ δίκαιον, οὐ δὲ ἐν ταὐτὸν ἐπὶ τῷ συμφέροντι. ἐπὶ γὰρ ὅπου εἰς ταὐτὸν αὐτὸ νομίζουσι τῷ δικαίῳ,

ἔχειν ἀεὶ καταγίνεσθαι· πρῶτον μέν, ὃ δὲ πάντων τῶν νοημάτων ἰάματα ἐστί· τί γάρ, ἐὰν ἡ νόσος ὀλεθρία ᾖ; ἀλλ' ὅλως τε, ἔστιν ὅτε ὁ ταὐτὰ τίθησι προσάγουσιν, ἀλλὰ τὰ ὅμοια, ὡς ἐπὶ τῶν κατὰ συμβεβηκός· πολλάκις γὰρ ψυχρὸν ὕδωρ ἐπιχέομενον ἥτοι νίκησαν ἢ διὰ θερμότητα αὐξήσατο. Πάσας τοίνυν τὰς ἐπιστήμας καὶ τὰς τέχνας ἡ φιλοσοφία τὰς ἀρχὰς δίδωσι· τῇ μὲν γεωμετρίᾳ, τὰς καθολικοὺς λόγους, φιλοσόφων γὰρ τὸ καθόλου θεωρῆσαι, ἄλλως τε ὁ γεωμέτρης τὸ σημεῖον ἀμερὲς λαμβάνει, καὶ τὸ μέγεθος ἐπ' ἄπειρον διαιρεῖ· καὶ ταύτας ἀναποδείκτους ταῖς ἀρχαῖς κέχρηται· ὁ δὲ φιλόσοφος, ταῦτα δείκνυσιν· ἐπειδὴ γὰρ φησι πᾶν τὸ πρατοῦν τοῦ πρατουμένου λήπτου μιᾷ διαστάσει· τὸ γὰρ σῶμα τρεῖς ἔχον διαστάσεις περατοῦται ὑπὸ τῆς ἐπιφανείας, ἥτις ἔχει δύο διαστάσεις, μῆκος καὶ πλάτος, βάθος γὰρ οὐκ ἔχει ὡς λήπτου τοῦ σώματος· ἡ δὲ ἐπιφάνεια δύο ἔχουσα διαστάσεις, πρατοῦται ὑπὸ τῆς γραμμῆς, ἥτις μίαν ἔχει διάστασιν τὸ μῆκος μόνον· ἡ δὲ γραμμὴ πρατοῦται ὑπὸ τοῦ σημείου· καὶ δῆλον ὅτι οὐκ ἔχει οὐδεμίαν διάστασιν, ἀλλ' ἔστιν ἀμερές, ὡς ἔμπροσθεν εἴρηται, πᾶν πρᾶγμα τὸ πρατουμένου λήπτου μιᾷ διαστάσει. Ὅτι δὲ τὸ πᾶν μέγεθος ἐπ' ἄπειρον ἐστὶ διαιρετόν, δείκνυσι λαμβάνων· ὅτι ἡ τομὴ κατὰ σημεῖα γίνεται, ἀπερ ἀσώματά ἐστι, τὰ δὲ ποιοῦσι σῶμα· ἐκοῦν τὸ σῶμα τρεῖς ἔχει διαστάσεις κατὰ σημεῖα διαιρούμενον, οὐδὲν γὰρ ἀφαιρεῖται τοῦ σώματος ἡ διαίρεσις, πλὴν τοῦ ποσοῦ τὸ μέγεθος, τὸ δὲ τρεῖς ἔχειν διαστάσεις, οὐκ ἀφαιρεῖται· ἐκοῦν ὁ λόγος τοῦ σώματος ἐπιδέχεται τὴν εἰς ἄπειρον τομήν· εἰ δὲ ἀδύνατος εἰς διὰ τῶν συμφυτων ἀδύνατον ἀναδίδωσι, διὰ τοῦτο αἴρηται· Τῇ δὲ ἰατρικῇ, τὸ περὶ τῶν τεσσάρων στοιχείων σκοπεῖσθαι, αὕτη ἐστὶν ἡ παρέχουσ

ταν δὲ κατὰ τὸ ὃ ἔοικα τῇ ἐαυτῆς χρῆται θεωρίᾳ, ὑγιαίνειν δοκεῖ ποιητικὴν, καὶ ἐκ τοῦ τίλους εἶναι τοῦτον λέγομεν τὸν ὁρισμόν. ἡ δὲ φιλοσοφία ἁπλῆν ἔχουσα τὸ θεωρητικὸν εἶδος, αὐτοῦ γὰρ μόνου ἔοικεν γίνεται τοῦ γνῶναι τὰ πράγματα, ἐκ δὲ ἄλλου μὴ ἐκ τοῦ ὑποκειμένου δέχεται ὁρισμὸν, ἄλλον δὲ ἐκ τοῦ τίλους. ἡ γὰρ γνῶσις, πινῶν ἐστὶ γνῶσις. ἅμα δὲ καὶ ὅτι γνῶσις, καὶ πινῶν ἐστὶ γνῶσις, συμπεριλήφεται. καὶ ὁμοίως, εἴτε ἐκ τοῦ ὑποκειμένου τὸν τοιοῦτον ὁρισμὸν, εἴτε ἐκ τοῦ τίλους εἴποι τις ἄν, ἐκ δὲ ἀμφοῖν ἂν εἴη. Ἀλλ' ἴσως πρὸς διασολὴν τῶν ἄλλων ὁρισμῶν, τοῦτε λέγοντος, ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν, καὶ τὸ πρὸς διορίζοντος ἐν τίσιν ἡ ὁμοίωσις, καὶ τοῦ λέγοντος, μελέτη θανάτου, ἐκ τοῦ ὑποκειμένου ἀφορμὴν ἀρνημένους ὅρους προσκορδόνασθαι. Ἔτι δὲ καὶ ἄλλος τῆς φιλοσοφίας ὁρισμὸς ἀρίστο τίλους, ἐκ τῆς ὑπεροχῆς αὐτῆς τῆς πρὸς τὰς ἄλλας ἐπιτηδεύσεις καὶ τέχνας, λέγων. φιλοσοφία ἐστὶ τέχνη τεχνῶν, καὶ ἐπιστήμη ἐπιστημῶν, τοιῷδε δέ τινι τρόπῳ πρὸς ταύτην ἱδόντος τὸ ἀπόδοσιν. τὴν γνώσεων αἱμὴν, τὰς τέχνας πρέποντα: αἱ δὲ, τὰς ἐπιστήμας. αὖται δὲ αἱ τέχναι γὰρ ἐπιστήμαι, κατὰ μὲν οὖν λόγους ἔδειν διαφέρουσιν ἀλλήλων. οἱ γὰρ ἑκάστης λόγοι καθ' ἑαυτὸν μὲν, ἄπαυσοί εἰσι, κατὰ δὲ τὴν ὕλην, διαλαπτουσιν. αἱ μὲν γὰρ ἐπιστήμαι πρὸς τὰ ὡσαύτως ἔχοντα κατεσκήνωνται. οἷον, ἀστρονομία, γεωμετρία, ἀριθμητική, αἱ δὲ τέχναι πρὸς τὰ ὡς ἐπὶ τὸ πολὺ μεταβαλλόμενα. ὅθεν τῆς γεωμετρίας οἱ λόγοι ἄπαυσοί μένουσιν, ὡς ἔχει ἐκεῖνο, παντὸς κύκλου τὰ ἀπὸ τοῦ κέντρου ἴσα τὴν πρὸς ἀφεστηκυῖα διασήματα ἴσα εἰσὶν ἀλλήλοις. τοῦτο γὰρ ὡσαύτως ἔχον ἐστίν. οἱ δὲ τῆς ἰατρικῆς, παύσουσιν, ὡς ὁ λέγων. τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, διὰ τὸ μὴ πρὸς τὸ ὡσαύτως

τὰν θανατον, τουτέστι, χωρισμὸν ψυχῆς ἀπὸ σώματος. Ἰσέον γὰ, ὅτι οὐ πάντως τοῦ σώματος χωριζομένου τῆς ψυχῆς, καὶ ἡ ψυχὴ χωρίζεται τοῦ σώματος. οἱ γὰρ φιλοσώματοι ψυχαὶ, καὶ μετὰ θανατον τὸν τῶν σωμάτων ἐπιποθέουσιν ἔρωτας: καὶ τούτων εἶναι φασὶ τὰ φαινόμενα περὶ τοὺς τάφους σκιοειδῆ φαντάσματα. ἀλλ' οὐδὲ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος χωριζομένης, τὸ σῶμα πάντως χωρίζεται τῆς ψυχῆς. οἱ γὰρ φιλοσόφως ζῶντες, καὶ ἐν τῷ ζῆν ὄντες ἔτι, χωρίζουσιν ἑαυτοὺς τοῦ σώματος. ἔστιν οὖν ἡ φιλοσοφία μελέτη θανάτου: τουτέστι, μελέτη χωρισμοῦ ψυχῆς ἀπὸ τοῦ σώματος. Ζητῆσαι δὲ λοιπὸν ἄξιον, ὡς ἡ τέλος ἔχει ἡ φιλοσοφία τὸ τῶν ὄντων γνῶσιν, πῶς τὸν ὁρισμὸν, τὸν λέγοντα, γνῶσις τῶν ὄντων ἡ ὄντως ἐστὶ, καὶ πάλιν, γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, ἐκ τοῦ ὑποκειμένου φαμὲν, καὶ οὐκ ἐκ τοῦ τέλους. ὡς γὰρ τὸ ἰατρικὸν ὠφέλιμον περὶ τὰ ἀνθρώπινα σώματα καταγινόμενόν ἐκ τοῦ ὑποκειμένου φαμὲν ὁρίζεσθαι, ὅταν δὲ ὑγίειαν περιποιητικὸν, ἐκ τοῦ τέλους, ὅτι τοῦτου ἕνεκά ἐστιν, ὅτου δὴ καὶ τῶν τῆς φιλοσοφίας, ἡ τέλος ἔχει τὸ τῶν ὄντων γνῶσιν, ἐκ τοῦ τέλους εἶναι λέγειν δεῖ τοὺς ἀποδιδομένους ὁρισμούς. ἐκεῖνο δὲ πρῶτον σκοπητέον, ὡς ἡ φιλοσοφία τὸ μὲν πρῶτον ἔσχεν μόνον θεωρητικὸν, τὸ δὲ, πρακτικὸν, διὸ καὶ ἔχει τὸ τέλος. ὅταν γὰρ λέγωμεν μελέτην εἶναι θανάτου τὴν φιλοσοφίαν, ἐκ τοῦ πρακτικοῦ τέλους αὐτὴν ὁριζόμεθα. ὅταν δὲ γνῶσιν τῶν ὄντων ἢ ὄντως ἐστὶν, ἐκ τοῦ γνωστικοῦ. ὅταν δὲ ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ἐξ ἀμφοῖν. ἢ μὴν ἰατρικὴ μικτὴ οὖσα, ὅταν μὴν κατὰ μόνον τὸ θεωρητικὸν αὐτῆς ὁρίζηται, λέγεται ὠφέλιμον περὶ τὰ ἀνθρώπινα σώματα καταγινόμενον. καὶ εἰκότως ἐκ τοῦ ὑποκειμένου αὐτῆς τὸν τοιοῦτον φαμὲν ὁρισμόν. ὃ

Εἶπας ἦλιε χαῖρε κλειόμβροτος ἀμβρακιώτης
Ἦ λατ' ἀφ' ὑψηλοῦ πίχεος ἐς ἀΐδου;
Ἄξιον οὐδὲν ἰδὼν θανάτου κακὸν, ἀλλὰ Πλάτωνος
Ἐν τῷ πρὸς ψυχῆς γράμμ' ἀναλεξάμενος.

Διὰ τίνων ἐξ ἀγνοίας τοίνυν τῷ νέῳ συμβάσαν ἐγχείρησιν ὥσκεπτέον ἂν εἴη, τί ποτε βούλεται ἡ ῥηθεῖσα τοῦ θανάτου μελέτη. καὶ γὰρ καὶ ὁ Πλάτων παρακελεύεται μὴ ἐξάγειν ἑαυτόν. φησὶ γὰρ οὕτως: Ὁ μὲν οὖν δὴ ἀπορρήτους πρὸς αὐτῶν λεγόμενος λόγος, ὡς οὐ δεῖ φρουρᾷ ἐκ μέσου ἀνθρώπου ἀπιέναι, καὶ οὐ δεῖ αὐτοῦ ἐκ ταύτης ἐξάγειν, οὐ δὲ ἀποδιδράσκειν, μέγας τίς μοι φαίνεται, καὶ οὐ ῥᾴδιον διιδεῖν. οὐ δὴ δὲ ἐξάγειν ἑαυτούς. ὥσπερ γὰρ ὁ μὲν φρουρᾷ ὑπάρχων καὶ κατακεκλεισμένος διά τι πλημμέλημα, εἰ βουληθείη ἀποδρᾶσαι, ἀνατρέπειν ἂν δοκοῖ ἐφ' ἑαυτῷ τὸν νόμον, οὕτω καὶ ὁ φιλόσοφος διαλῦσαι τὸν δεσμὸν τοῦ σώματος τὸν δεθέντα ὑπὸ τῆς προνοίας, ἀνατρέπειν ἂν δημιουργικοὺς νόμους. οὐ δὴ οὖν θανατοῦν. εἰ τοίνυν ταῦτ' οὕτως ἔχει, πῶς μελέτη θανάτου τὴν φιλοσοφίαν φαμέν; πρόσεχε οὖν τὸν λόγον, καὶ λυθήσεται ἡ ἀπορία. Ἴσον ὂν τοῦ ἀνθρώπου σωθέντος ὄντος ἐκ ψυχῆς καὶ σώματος, καὶ ὁ σωθησόμενος διττός, καὶ ἡ τῆς ψυχῆς λύσις διττή. ἔστι γὰρ ὁ φυσικὸς λεγόμενος δεσμός, καθ' ὃν τῇ ψυχῇ δέδεται τὸ σῶμα, καὶ ζῷον πεποίηται ἐξ αὐτῆς. ἔστι δὲ καὶ ὁ προαιρετικὸς δεσμός, καθ' ὃν ἡ ψυχὴ δέδεται δουλεύουσα τῷ σώματι αὐτῷ, κεκρατουμένη ὑπ' αὐτοῦ. διττὴ οὖν καὶ ἡ λύσις: ἡ μὲν τοῦ σώματος ἀπὸ ψυχῆς: ἡ δὲ τῆς ψυχῆς ἀπὸ σώματος. καὶ ὁ θάνατος διττός, ὁ μὲν, φυσικὸς, καθ' ὃν πάντες οἱ ἄνθρωποι ἀποθνήσκομεν: τοῦτο, καθ' ὃν χωρίζεται τὸ σῶμα τῆς ψυχῆς: ὁ δὲ προαιρετικὸς, καθ' ὃν οἱ φιλόσοφοι μελέτῃ χωρίζειν τὴν ψυχὴν ἀπὸ τοῦ σώματος. καὶ κατὰ τοῦτο λέγονται μελε



Digitized by Google

δὲ, τὸ ὀξέως θεῖν, καὶ ἐν πολέμοις ὠφέλιμον εἶναι. καὶ ἐν αὐτοῖς δὲ τοῖς ἀλόγοις πολλὴ διαφορὰ ὑπάρχει τῆς πλειστότητος: ἐπειδὴ καὶ τῆς οὐσίας αὐτῶν, ἄλλη μὲν ὑπάρχει κωφὸς πλειότης, ἄλλη δὲ ἵππου. εἰσὶν οὖν τούτων διάφοροι εἰσὶν αἱ πλειότητες παρὰ τὴν διάφορον οὐσίαν, πολλῷ μᾶλλον ἐπ' ἀνθρώπου τε καὶ θεοῦ. ἐπεὶ οὖν πολὺ διαφέρουσι κατὰ τὴν οὐσίαν, εἰκότως καὶ τὰς πλειότητας διαφερούσας ἔχουσι. κατὰ ὃν οὖν πρόσκειται τῷ ὁρῳ, τὸ, κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. ἔστιν οὖν ἡ φιλοσοφία ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. Ἐκ ποίας δ' αἰτίας ὥρμησεν ὁ φιλόσοφος οὕτως ὁρίσασθαι τὴν φιλοσοφίαν, λεκτέον. ἐπειδὴ γάρ, ὡς εἶπον, διπαί εἰσιν αἱ τοῦ θεοῦ δυνάμεις, αἵτε γνωστικαὶ καὶ πρακτικαὶ, διπαί εἰσι καὶ τῆς ἡμετέρας ψυχῆς, αἵτε θεωρητικαὶ καὶ πρακτικαὶ. ὁ δὲ φιλόσοφος ἑκάτερα τῶν μερῶν τῆς ψυχῆς κοσμεῖν βούλεται τῇ πρὸς θεὸν μιμήσει, τὸ μὲν, τὴν τῶν ὄντων φύσιν πῶς ἔχει ὠσκεπόμενος, τὸ δ', πᾶς παθητικὰς τῆς ψυχῆς κοσμῶν δυνάμεις, καὶ τἄλλων ὠφελούμενος, εἰκότως ὁ πλάτων, ὁμοίωσιν εἶναι θεῷ τὴν φιλοσοφίαν κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ὡρίσατο. Ἔστι δὲ καὶ ἄλλος ὁρισμὸς ἐκ τοῦ τέλους ὁ λέγων: φιλοσοφία ἐστὶ μελέτη θανάτου. ἐπεὶ δὲ ὁ προκείμενος ὅρος τὴν φιλοσοφίαν μελέτην θανάτου ὁρίζεται, ῥητέον, ὅπως δεῖ τῆς τοῦ θανάτου μελέτης ἀκούειν. Κλεόμβροτος γάρ τις ὀνόματι, ἐγκύψας τῷ τοῦ πλάτωνος φαίδωνι; καὶ ὅπ μὲν δεῖ τὸν φιλόσοφον θανάτου μελετᾶν γνοὺς, ὅτου δὲ τρόπου δεῖ μὴ γνούς, ἀνείλεν ὠ τοῦ τείχους, ἑαυτὸν κατακρημνίσει. τούτου μαρτύριον, ὃ εἰς αὐτὸ τὸ ἀμβρακιωτικὸν μεράκιον ἐκθέμενος ἐπίγραμμα ποιητής, φησί γάρ:

Digitized by Google

σις. τὴν γὰρ οὐσίαν ἑκάστου πράγματος, καὶ τὸ εἶναι σκο
πεῖ ὁ φιλόσοφος. Ὁ δὲ πλάτων οὕτως ὁρίζεται τὴν φι
λοσοφίαν: φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων
πραγμάτων: καὶ δηλον, ὅτι ὁ αὐτὸς ἐστι τῷ πρὸ αὐτοῦ. διαφέ
ρει δὲ μόνῳ τῷ σαφεῖτε καὶ ἀσαφεῖ. διῆλε γὰρ τὰ ὄντα, ἥστε
καὶ θεῖα καὶ ἀνώνυμα: τὰ μὲν ἀΐδια, ἐπὶ ὧν θεία, τὰ δὲ γενέ
σει καὶ φθορᾷ, ἐπὶ ὧν ἀνθρώπινα. οὗτος δὲν ὁ ὁρισμὸς καὶ ὁ πρῶ
τος ἐκ τοῦ ὑποκειμένου ἀποδίδοται. διαφέρουσι δὲ ἀλ
λήλων, ὡς εἴρηται, τῷ σαφεῖτε καὶ ἀσαφεῖ. Ἐστι δὲ καὶ
τοιοῦτος ὁρισμὸς ἀπὸ τοῦ τέλους ὁ λέγων, φιλοσοφία ἐστὶν
ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. οὕτω γὰρ ὁ πλά
των ὥρισατο. ὁ γὰρ θεὸς δίκας ἔχει τὰς σωτηριαστὰς, τὰς
μὲν, γνωστικὰς, καθ' ἃ τὰ πάντα γινώσκει, ὡς καὶ οἱ ποιη
ταὶ σημαίνουσι λέγοντες: Θεοὶ δέ τε πάντα ἴσασι: τὰς
δὲ, προνοητικὰς τῶν καταδεεστέρων, καθ' ὃ τοῦ κόσμου ὅ
λου προνοεῖται, ὡς καὶ οἱ ποιηταὶ φασι: Θεοὶ δώτηρες ἐά
ων. ὁ δὲ φιλόσοφος βούλεται κατ' ἄμφω ἑαυτὸν ἐξομοιοῦ
τῷ θεῷ. βούλεται γὰρ καὶ θεωρητὴς εἶναι τῶν πάντων: πά
ντα γὰρ ὠφελεῖται: καὶ μέντοι καὶ προνοητὴς: προνοίας
γὰρ τῶν καταδεεστέρων ποιεῖται: ὁ γάρτοι πολιτικὸς φιλό
σοφος δικάζει, καὶ νόμους τίθησιν, ὥστε ἡ φιλοσοφία εἰκό
τως ὁμοίωσις ἐστὶ θεῷ. τὸ δὲ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ,
καλῶς πρόσκειται. οὔτε γὰρ ἡ γνῶσις ὁμοία, οὔτε πρό
νοια ἑαυτῆς ἐστὶν, Οὐ ποτὲ φίλον ὁμοῖον ἀθανάτῳ τε θε
ῶν, χαμαὶ ἐρχομένῳ τ' ἀνθρώπων: ὧν γὰρ αἱ οὐσίαι διά
φοροι, τούτων καὶ αἱ τιμιότητες διάφοροι ὑπάρχουσι. καὶ
ἔστιν ἰδεῖν τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ζώων. ἐπειδὴ γὰρ ὁ
ἄνθρωπος καὶ ὁ ἵππος διάφορον ἔχουσι τὴν οὐσίαν,
διάφορον ἔχουσι καὶ τὴν τιμιότητα. ἀνθρώπου μὲν γὰρ
τιμιότης, τὸ μετὰ λόγου καὶ φρονήσεως ζῆν: ἵππου

νον ἔχει τὰ ἀνθρώπινα σώματα: πρὸς γὰρ ταῦτα καταλίνεται: τέλος δέ, τὸ ὑγιάσαι ταῦτα. τούτου γὰρ ἕνεκα ἔξεστι. ὁμοίως καὶ ὁ τέκτων ὑποκείμενον ἔχει τὰ ξύλα, τέλος δέ, τὸ ποιῆσαι ἀβάκιον. Οἱ οὖν ὁρισμοὶ λαμβάνονται ἢ ἐκ τοῦ ὑποκειμένου, ἢ ἐκ τοῦ τέλους, ἢ καὶ ἀπὸ τοῦ συναμφοτέρου. ἐκ μὲν τοῦ ὑποκειμένου, ὡς ὅταν ἐπώμεν, ἰατρικὴ ἐστὶ τέχνη πρὸς τὰ ἀνθρώπινα σώματα καταλινομένη: ἐκ δὲ τοῦ τέλους, ὡς ὅταν ἐπώμεν, ὑγιάσαι πρὸς ποιητική: ἐκ δὲ τοῦ συναμφοτέρου, τέχνη πρὸς τὰ ἀνθρώπινα σώματα καταλινομένη, ὑγιάσαι πρὸς ποιητική. ὁμοίως δὲ καὶ ἡ ἀστρονομία, ὠνομένη οὖσα, ἔχει ὑποκείμενον, τὰ οὐράνια σώματα: τέλος δέ, τὸ γνῶναι τὰς κινήσεις αὐτῶν. μάθεσιν οὖν τί ὑπόκειται τῇ φιλοσοφίᾳ, καὶ τί τὸ τέλος αὐτῆς: καὶ οὕτω διωνσόμεθα αὐτῆς τὸν ὁρισμὸν ἀποδοῦναι. Ἴσέον τοίνυν, ὅτι αἱ μὲν ἄλλαι ὠνσημαι καὶ τέχναι πρός τινα μερικὰ καταλίνονται: οἷον, ἡ τεκτονικὴ πρὸς μόνα τὰ ξύλα: ἡ δὲ ἀστρονομία πρὸς μόνα τὰ οὐράνια, μόνη δὲ ἡ φιλοσοφία πρὸς πάντα τὰ ὄντα καταλίνεται. τέλος δὲ ἔχει, οὐ ποιῆσαι, ἀλλὰ γνῶναι αὐτά. παραλαμβάνονται οὖν τῆς φιλοσοφίας οἱ ὁρισμοὶ πολλοί. πολλοὶ γὰρ πολλαχῶς ὡρίσαντο τῶν παλαιοτέρων αὐτοί. ἵνα ᾖ μὲν τοῖς φιλαυτίοις ἀκαίρου φιλοτιμίας ἐν τῷ παρόντι δώμεν ἔγκλημα, οὗ ἑκάστου διεξόντες ὅρους, ἀποχρώντως ἢ ὀλίγῳ πλείους προσεπελθεῖν. δύο μὲν εἰσὶν ἐκ τοῦ ὑποκειμένου: δύο δὲ ἐκ τοῦ τέλους: καὶ ἕτερος ἐκ τῆς ὑπεροχῆς, ὃν ἔχει πρὸς τὰς ἄλλας τέχνας: καὶ ἕτερος ἐξ ἐτυμολογίας. Ἔστιν οὖν ὁ πρῶτος ὁρισμὸς οὗτος: φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί. τὸ δὲ ᾗ, ἀντὶ τοῦ καθ' ὅσον ἐστίν. οὐ γὰρ προτίθεται ὁ φιλόσοφος πάντας οὓς ἐν τῷ κόσμῳ ἀνθρώπους εἰδέναι κατ' ἀριθμόν, ἀλλὰ τίς ποτ' ἐστὶν ἡ τοῦ ἀνθρώπου φύ

# ΑΜΜΩΝΙΟΥ ΤΟΥ ΕΡΜΙΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΑΣ ΤΟΥ ΠΟΡΦΥΡΙΟΥ ΠΕΝΤΕ ΦΩΝΑΣ.

μ

ΕΠΕΙΔΗ ΠΑΝΤΑΣ ΗΜΑΣ ΦΙλοσόφων ἀρχεσθαι λόγων, ἀναγκαῖον ἐστὶ μαθεῖν τί ποτέ ἐστι φιλοσοφία. δεῖ γὰρ τὸν ἀρχόμενόν του, πρό τινος μαθεῖν τί ὀνομάζεται. οὕτω γὰρ ἂν εὐθὺς ἀπὸ τινος ἀρξαίμεθα τοῦ πράγματος. μανθάνομεν δὲ τὰ πράγματα ἐκ τῶν ὁρισμῶν· καὶ πῶς οἷόν τε ὁρισμοῦ μαθεῖν πρᾶγμα, ἀγνοουμένου τοῦ τί ἐστιν ὁρισμός; ὁρισμός τοίνυν ἐστὶ λόγος σύντομος δηλῶν τὴν τοῦ πράγματος φύσιν. ὁρισμὸς δὲ λέγεται ἀπὸ μεταφορᾶς τῶν ἐπὶ τῆς χωρίσεως ὅρων. ὥσπερ γὰρ ἐκεῖνοι περιλαμβάνουσι τὸ χωρίον καὶ χωρίζουσι τῶν ἀλλοτρίων, οὕτω καὶ οἱ ὁρισμοὶ περιλαμβάνουσι τὸ πρᾶγμα, καὶ χωρίζουσι τῶν ἄλλων ἁπάντων. δεῖ τοίνυν ὁρισμὸν τῆς φιλοσοφίας εἰπεῖν; ὥσπερ γὰρ τῆς γραμματικῆς ἀρχόμενοι τὸν ὁρισμὸν ἐμαθόμεν; ὅτι γραμματικὴ ἐστὶν ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων· ὁμοίως δὲ καὶ ῥητορικῆς ἀρχόμενοι, τὸν ὁρισμὸν ἐμάθομεν· ὅτι ῥητορικὴ ἐστὶ δυνάμεως τεχνικὴ πιθανοῦ λόγου περὶ πράγματα πολιτικῶν, τέλος ἔχουσα τὸ εὖ λέγειν. δεῖ οὖν καὶ τῆς φιλοσοφίας τὸν ὁρισμὸν μαθεῖν· οὕτω γὰρ ἐστὶν ἢ καὶ ταῖς ἄλλαις ἐπιστήμαις καὶ τέχναις εὐθὺς ὁρισμοὺς παρέχουσα. Πᾶσα οὖν ἐπιστήμη καὶ τέχνη ὑποκείμενόν τι ἔχει καὶ τέλος. ὑποκείμενον μὲν οὖν ἐστι, περὶ ὃ καταγίνεται· τέλος δέ, οὗ ἕνεκά ἐστι, καὶ ὃ βούλεται κτήσασθαι· οἷον, ἡ ἰατρικὴ ὑποκείμε-

## Ἐν ταῖς κατηγορίαις.

Περὶ ὁμωνύμων.
Περὶ συωνύμων.
Περὶ παρωνύμων.
Πρώτη διαίρεσις.
Δευτέρα διαίρεσις.
Πρῶτος κάνων.
Δεύτερος κάνων.
Κατηγοριῶν ἀρίθμησις.
Περὶ οὐσίας.
Περὶ ποσοῦ.
Περὶ τῶν πρός τι.
Περὶ ποιοῦ καὶ ποιότητος.
Περὶ ποιεῖν καὶ πάσχειν.
Περὶ ἀντικειμένων.
Περὶ προτέρου.
Περὶ τοῦ ἅμα.
Περὶ κινήσεως.
Περὶ τοῦ ἔχειν.

## Ἐν τῷ Περὶ Ἑρμηνείας.

Τμῆμα πρῶτον.
Τμῆμα δεύτερον.
Τμῆμα τρίτον.
Τμῆμα τέταρτον.
Τμῆμα πέμπτον.

Digitized by Google

# ΠΙΝΑΞ ΤΩΝ ΕΝ ΤΩΙ ΤΟΥ ΠΟΡΦΥΡΙΟΥ ΒΙΒΛΙΩι.

Περὶ γένους.
Περὶ εἴδους.
Περὶ διαφορᾶς.
Περὶ ἰδίου.
Περὶ συμβεβηκότος.
Περὶ κοινωνίας καὶ διαφορᾶς τῶν ε΄. φωνῶν.
Γένους καὶ διαφορᾶς.
Γένους καὶ εἴδους.
Γένους καὶ ἰδίου.
Γένους καὶ συμβεβηκότος.
Διαφορᾶς καὶ εἴδους.
Διαφορᾶς καὶ ἰδίου.
Διαφορᾶς καὶ συμβεβηκότος.
Εἴδους καὶ ἰδίου.
Εἴδους καὶ συμβεβηκότος.
Ἰδίου καὶ συμβεβηκότος.

Digitized by Google

tanti, cui potissimum hos nostros dicarem labores, tu solu' Lauredane amplissime occurristi: cui, ob perspectam insignem philosophiæ rerumq; omnium dignotionem, uitæq; tuæ raram integritatem; iure me obstrictum esse, ac plurimum debere fateor. Quam auide expectaram, eam in præsentia occasionem nanciscar: ut te scilicet, Persarum more, in isto tam promerito splendore pro dignitate salutem. proinde munus hoc, qualecunque est, accipies: in quo si uoluntatem meam & studium probaueris, hoc nihil antiquius nunc mihi à deo Opt. Max. dari poterit. Vale.

Digitized by Google

Char. 11. ubi ſcriptum erat ἐκ γὰρ τούτων συλλογή τις σύγκειται τῶν πλειόνων, legimus ἐκ γὰρ τούτων συλλογισμὸς σύγκειται, συλλογή τις ὤν. Vbi char. 14. legitur ὡς ἄορ, ξίφος, ἀσάκη, ſtatim ſubijcimus τινὲς δέ φασιν ὅτι διὰ τοῦτο &c. quæ periodus linearum ferè decem alibi præpoſtere legebatur. Vbi char. 64. erat ἐπειδὴ οὐκ ἅμα λευκαίνεται ὁ σωκράτης, ſic reſtituimus ἐπειδὴ οὐκ ἅμα γίνεται μέλας καὶ λευκαίνεται ὁ σωκρ. Vbi char. 9. legebatur ὁ σκοπὸς, καὶ τὰ λοιπὰ, reponimus ὁ σκοπὸς, τὸ χρήσιμον, αἰτία τῆς ἐπιγραφῆς. ibidem ubi, εἰ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον, ſtatim apponimus ἀναγνώσεως τάξις καὶ διαίρεσις. Char. 10. προβλήματος συλλογισμὸν, legimus προβλήματος συλλογίζεσθαι. ibidem πρὸς τὰς κατὰ φιλοσοφίαν μεθόδους, legimus ἐπιήμας. Char. 11. τοῦτο κακὸν ἐστὶν, legimus τοῦτο ἀναγκαίως κακὸν ἐστίν. Char. 83. ἢ ὁποσοῦν ἄλλως πρὸς ἕτερον. ἐπειδὴ, legimus ἢ ὁποσοῦν ἄλλως πρὸς ἕτερον. πρὸς τί δὲ τὰ τοιαῦτα λέγεται ἐπειδὴ. Char. 85. τούτοις μὲν οὖν, πρὸς τὶ, ἐναντίον δὲ, ἀρετῇ μὲν, legimus τούτοις μὲν οὖν, πρὸς τὶ, ἐναντίον ἐστὶν ἀρετῇ μὲν. Char. 42. ὥστε κοσμοῦσι μᾶλλον. ἐστὶν ὅτε οἱ ὁρισμοὶ τοιοῦτοι τὸ ὑποκείμενον, χωρίζοντες: legimus ὥστε τὸ ὑποκείμενον κοσμοῦσι μᾶλλον. ἐστὶν ὅτε οἱ ὁρισμοὶ τοιοῦτοι, χωρίζοντες Char. 49. τῶν ἄλλων οὐσίαι λέγονται, legimus τῶν ἄλλων δεύτεραι οὐσίαι λέγονται. Char. 131. ἵνα δὴ λύσῃ τὸν χρόνον, ſtatim adiungimus, γίνεσθαι λέγει. Cætera per ſe lector dignoſcet.

Locorum imagines præterea, ſuis tabellis exciſas, quæ rem oculis ſubijcerent, ut, quatenus poſſet, ſtudioſorum utilitati conſuleretur, adiunximus: indicemq; adſcripſimus eorum, quæ in tribus ſectionibus continentur. Mihi uero cogi-

Digitized by Google

Quæ periodus integra char. 29. præpoſtere legebatur, καὶ ὅτι τὸ παρὰ τοῖς φιλοσόφοις γένος περὶ οὗ ὁ λόγος, ἔοικε τοῖς εἰρημένοις γένεσι, καὶ ὁμοιότητα τινὰ πρὸς ταῦτα ἔχει: eam nos, dum ſuo loco collocamus, ad tertiam ſequentem paginã transferimus. Vbi char. 28. Porphyrij textus λέγεται δὲ καὶ ἄλλως, ei præponitur, qui eſt κατὰ ἀποτομὴν: ſeriem conuertimus: nam, qui primus erat textus, ſecundum faeimus; qui uero alter, primum. Vbi char. 13. legebatur, ὄντος ἀναγκαίου χρυσαόρις adiunximus καὶ εἰς τὴν παρ' Ἀριστοτέλει διδασκαλίαν. Vbi Αὐτίκα περὶ γενῶν, Porphyrij textus cum præcedente Ammonij commẽtario iungebatur, ſeparauimus. Item ibi, ubi erat Αὐτίκα περὶ γενῶν τε καὶ εἰδῶν εἴτε ὑφέστηκεν, ita legimus Αὐτίκα περὶ γενῶν τε καὶ εἰδῶν, τὸ μὴ εἴτε ὑφέστηκεν: paulo poſt enim τὸ δὲ ſequitur. Ibidem ubi, βαθυτάτης οὔσης τῆς τούτων πραγματείας, ita legimus, βαθυτάτης οὔσης τῆς τοιαύτης πραγματ. ibidem ubi erat, τῶν ὄντων, τὰ μὴ, ὑφέστηκε, legimus, ἄλλως τε. τῶν ὄντων &c. Vbi char. 61. ſcriptum erat, ὑπογράφουσι δὲ καὶ οὕτω, ita legimus ὑπογράφουσι δὲ τῆς τοιαύτης διαφορᾶς καὶ οὕτω. Vbi char. 27. uerba hæc legebantur, κατὰ ἀποτομὴν τὴν ἀπὸ τῶν ἄλλων γενῶν κεκλημένον, eo quòd uidebantur uacare, cum ibi præſertim proxime iterentur, omnia reſeca uimus. Vbi char. 58. legebatur καὶ εἰς τοὺς ὁρισμοὺς, ἀλλ' οὐ τῶν κατὰ συμβεβηκὸς, ſic legimus καὶ εἰς τοὺς ὁρισμοὺς τῶν εἰδῶν, ἀλλ' οὐ τῶν κατὰ συμβεβηκός. Vbi char. 71. ſcriptum erat καὶ τὸ ἐπίσης, legimus κοινὸν δὲ καὶ τὸ ἐπίσης. Vbi char. 75. erat καὶ τὸ ἀεὶ καὶ πάντι παρεῖναι, legimus καὶ τὸ ἀεὶ καὶ πάντι εἶδὴ παρεῖναι.

Digitized by Google

AMPLISSIMO AC REVERENDISS.

ABBATI FRANCISCO LAVRE-

DANO PETRVS RHOSI-

THINVS S.

ATVRAE *causas cognoscere, & in*
*iisdem exerceri studiose, unicuique maxi-*
n *me laudandum semper duximus. Id mu-*
*neris per solius philosophiæ, quæ homi-*
*nem perficit & immortali deo simile red-*
*dit, agnitionem assequimur. unde censemus iisce gratias*
*habendas esse, qui dignissimæ huius sapientiæ lumen homi*
*nibus præbuere. inter hos est præcipue Aristoteles, quem*
Cicero, *Platone excepto, facile principem philosophorum &*
*appellat & facit. inter hos quoque* Porphyrius *annume-*
*randus, qui in Aristotelem præclaram facit introductio-*
*nem. huius* πέντε φωνῶν, *ac illius* τῶν περὶ ἑρμηνείας, *atque*
τῶν εἰς κατηγορίας *quam lucem dederit* Ammonius Hermias,
*ex his hypomnematibus facile percipi potest. Ammonij ea*
*est existimatio & auctoritas apud diuinæ sophiæ studiosos*
*illustres: ut frustra quis prædicet, quod ingenium, quæ*
*doctrina, quæ uis ac copia in eo sit disserendi, quæq; in*
*explicando diligentia. is* Porphyrij & Stagiritæ *recondi-*
*tos sensus sic recludit quidem, ut nihil sanè aliud præte-*
*rea in eo genere sit requirendum. Nos ea commentaria*
*cui nunc integritati restituerimus, quibusq; erroribus re-*
*purgauerimus, ex aliarum editionum collatione lector iu-*
*dicet. hic errata nonnulla (nam omnia esset infinitum)*
*satis erit afferre.*

* ij

Digitized by Google

<366241390300195

<366241390300195

Bayer. Staatsbibliothek

Digitized by Google

Α'ΜΜΩΝΙ'ΟΥ ΤΟ͂Υ Ε'ΡΜΕΙ'ΟΥ
ΕΙ'Σ ΤΑ'Σ ΠΕ'ΝΤΕ ΦΩΝΑ'Σ
ΤΟ͂Υ ΠΟΡΦΥΡΙ'ΟΥ
Υ'ΠΟ'ΜΝΗΜΑ.

AMMONII HERMIAE IN QVINQVE VOCES PORPHYRII COMMENTARIVS,

*Correctionibus quamplurimis, & locorum imaginibus illustratus.*

BIBLIOTHECA REGIA MONACENSIS

VENETIIS M. D. XLVI.

Bayerische Staatsbibliothek